Εἰς ποῖον ἱερὸν, ἢ πανήγυριν φίλων
Εἶμ'; οὐ γὰρ ἄτας εὐπροσηγόρους ἔχω.
Ἀλλ' Ἄργος ἔλθω; πῶς, ἐπεὶ φεύγω πάτραν;
Φέρ' ἀλλ' ἐς ἄλλην δή τιν' ὁρμήσω πόλιν;
Κἄπειθ' ὑποβλεπώμεθ' ὡς ἐγνωσμένοι,
Γλώσσης πικροῖς κέντροισι κληδονούμενοι,
Οὐχ οὗτος ὁ Διὸς, ὃς τέκν' ἔκτεινέν ποτε,
Δάμαρτά τ'; οὐ γῆς τῆσδ' ἀποφθαρήσεται;
„ Κεκλημένῳ δὲ φωτὶ μακαρίῳ ποτὲ,
„ Αἱ μεταβολαὶ λυπηρόν· ᾧ δ' αἰεὶ κακῶς

„ Ἐς',

Ver. 1274. ἀμφίκρανον) Hydram variis appellationibus indicari novimus. Modo ἀμφίκρανον, modo πολύκρανον, modo ἑκατογκέφαλον, modo aliis ἐπιθέτοις appellant. Sic etiam de Cerbero, quem infra dicit τρίκρανον.

Ver. 1280. θριγκῶσαι) μεταφορικῶς, h. e. malis sepirem, calamitatum fastigium ponerem.

Ver. 1284. ἄτας εὐπροσηγόρους) h. e. talibus noxiis non sum obstrictus, quæ sint, ut homines me nominare & alloqui possint.

Ver. 1288. κληδονούμενοι) Ita recte legitur. Est enim κληδονίζω, vel κληδονίζομαι, *ominor*. Et apud Hesychium κληδονῆσαι, ἀκοῦσαι. Hinc apte explicari potest, κληδονούμενοι, *jactis in nos malis ominibus & probris ab hominum lingua aculeata*. Quare jure optimo Barnesius explodit illud, quod quidam legebant κληδουχούμενοι, quo nescio quid sibi vellent.

Ver. 1290. ἀποφθαρήσεται) h. e. *non abibit hinc malo ejus omine, & periturus?*

O Leoni, o Tifoni aventi il corpo
A tre doppj, e giganti, ed altre fiere
Quadrupedi colà nella battaglia
Di Centauri ripiena io non uccisi?
L' Idra non meno, che da queſta e quella
Parte la teſta avea, moſtro, ch' ognora
Ripullulava, avendo a terra morto
Fatto cadere; e di mille altre e mille
Impreſe a faſci ſoſtentai il cimento;
E andai ſotterra tra la morta gente,
Onde il Cerbero cane, orrenda Fera
Da tre teſte, che ſta di Pluto a guardia
Alle porte, io guidaſſi in queſta luce
Per voler d' Euriſteo; per fine queſto
Scempio de' figli miei di far ſoſtenni
Per far gir colma di ſventure e danni
La famiglia. or ſon giunto a tale acerba
Neceſſità, che nell' amata mia
Tebe non lice ſoggiornare, e s' anco
Rimango, a quale tempio, a quale amica
Adunanza ir potrò, qualora ſoffro
Sì fatti danni, che non laſcian via
Di converſare colla umana gente?
Ma forſe in Argo andrò? come? ſe fuggo
Dalla patria. ma che? forſe in qualch' altra
Cittade volgerò l' orme? ma poi
Sarem veduti di mal occhio e torvo,
Siccome noti, con amari modi
Punti ed afflitti dalla lingua altrui,
Così dicendo: e non è il figlio queſti
Di Giove, quegli, che di vita un tempo
Tolſe i figli, e la moglie? e fuor di queſte
Contrade non andrà diſtrutto e sfatto?
„ Ed oh! all' uom, che era chiamato un tempo
„ L' uom felice, il cangiar è acerbo e triſto;
„ Ma colui, che in fortuna avverſa ognora

„ Ἔστ', οὐδὲν ἀλγεῖ, συγγενῶς δύστηνος ὤν.
Εἰς τοῦτο δ' ἥξειν συμφορᾶς οἶμαί ποτε.
Φωνὴν γὰρ ἥσει χθὼν ἀπεννέπουσά με,
Μὴ θιγγάνειν γῆς, καὶ θάλασσα, μὴ περᾶν,
Πηγαί τε ποταμῶν, καὶ τὸν ἁρματηλάτην
Ἰξίον' ἐν δεσμοῖσιν ἐκμιμήσομαι.
Καὶ ταῦτ' ἄριστα· μηδέν' Ἑλλήνων μ' ὁρᾶν,
Ἐν οἷσιν εὐτυχοῦντες ἦμεν ὄλβιοι.
Τί δῆτά με ζῆν δεῖ; τί κέρδος ἕξομεν,
Βίον τ' ἀχρεῖον, ἀνόσιον κεκτημένοι;
Χορευέτω δὲ Ζηνὸς ἡ κλεινὴ δάμαρ,
Κρούουσ' Ὀλυμπίου Ζηνὸς ἀρβύλῃ πέδον.
Ἔπραξε γὰρ βούλησιν, ἣν ἐβούλετο,
Ἄνδρ' Ἑλλάδος τὸν πρῶτον αὐτοῖσιν βάθροις
Ἄνω κάτω στρέψασα. τοιαύτῃ θεῷ
Τίς ἂν προσεύχοιθ'; ἣ γυναικὸς οὕνεκα
Λέκτρων φθονοῦσα Ζηνὶ, τοὺς εὐεργέτας
Ἑλλάδος ἀπώλεσ', οὐδὲν ὄντας αἰτίους.
Θη. Οὐκ ἔστιν ἄλλου δαιμόνων ἀγὼν ὅδε,
Ἢ τῆς Διὸς δάμαρτος. εὖ τόδ' αἰσθάνῃ,
Παραινέσαι μ' ἂν μᾶλλον, ἢ πάσχειν κακῶς.

„ Οὐ-

Ver. 1293. συγγενῶς) Olim legebatur συγγενῶν, corrupte. Brodæus restituit locum ex Stobæo, qui citans hunc locum, legit συγγενῶς, h. e. *ex natura*, *ex ipsa vitæ consuetudine*; siquidem semper miser fuit.

Ver. 1297. Πηγαί τε ποταμῶν) Ἀπὸ κοινοῦ intelligitur μὴ περᾶν h. e. ipsa flumina, quæ e fontibus emanant, ποταμῶν est gignendi casus, qui regitur a voce πηγαὶ, *fontes fluviorum*. Hinc minus apte Brodæus, qui intelligit, πηγαί τε μὴ θιγγάνειν ποταμῶν.

Ver. 1298. Ἰξίον') De Ixionis pœna rotæ alligati apud Inferos nota est fabula.

Ver. 1304. Ὀλυμπίου) Lege trisyllabum in metro τὸ ὀλυμπίου per synecphonesin Poetis usitatam.

Ibid. πέδον) Olim πόδα legebatur. Brodæus maluit legere πέδον. Quæ lectio Cantero, & aliis probatur.

Ver. 1308. γυναικὸς οὕνεκα) h. e. Alcmenæ matris meæ caussa, quam Jupiter adamavit. Cujus rei nihil equidem ego in caussa sum.

Ver. 1312. εὖ τόδ' αἰσθάνῃ) Scaliger, qui vir certe acerrimo ingenio fuit, & sibi maxime fidens, putavit hoc loco quædam desiderari, & defectum esse aliquem. Sic enim annotat, λείπει. Barnesius defectum nullum esse probe cognovit, & ita explicuit, εὖ τόδ', &c. *Hoc recte sentis*, *facilius te monere possum*, *ut dixisti*, *quam ipse mala pati*, ut alludat ad illud supra, 1249. Vel putat legendum παραινέσαι, ut dein-

„ Giace, nulla si duol, avendo seco
„ La sventura natia; ben penso anch' io
Un tempo d' arrivare a simil fatta
Di sciagura; poichè la terra contro
Di me favellerà, vietando, ch' io
Il terreno non tocchi; e il mare, e i fiumi
Che valicarli non ardisca; e Issione
Che arruotato ne vien tra lacci avvinto
Imiterò. la qual cosa per vero
E' la miglior, che non mi vegga alcuno
De' Greci, tra de' quali allor che amici
Fortuna ci arridea, fummo beati.
A che dunque degg' io vivere? quale
Util quindi n' avrem, se già una vita
Che nulla val, e ch' è macchiata e lorda,
Conduciam? danzi pur lieta l' altera
Moglie di Giove, col calzare il suolo
Calpestando di Giove Olimpio; ch' ella
Compiè ciò, che volea, dalle radici
Sossopra avendo il primo Eroe di Grecia
Svelto e sconvolto. chi sì fatta Dea
Adoreria, la qual per una donna
Il talamo invidiando a Giove, feo
Perir color, che a pro di Giove tanto
Opraro, che non han colpa veruna?
Tes. D' altro Nume non è, che della moglie
Di Giove tal contesa; or ben tu sai,
Che donarti conforto io già piuttosto
Soglio, che rimirarti in tra gli affanni
Condurre i giorni: e in ver tra de' mortali

L 4 E tra'

---

deinde ad *τὸ πάχειν* intelligatur *δυνήσαιμι*. Quæ ellipsis, inquit, inusitata non est. At cur tantum verborum. Brevior, clarior, verior explicatio videtur, ni fallor, si ita explicetur, *hoc jam probe scis, me te admonere potius, quam ut improbo dolore angaris*. Atque sane continuo, ut eum soletur, & ne doleat, dicit, *ᾔδεις*, &c. Peritiores judicent.

„ Οὐδεὶς δὲ θνητῶν ταῖς τύχαις ἀκήρατος,
„ Οὐ θεῶν, ἀοιδῶν εἴπερ οὐ ψευδεῖς λόγοι.
„ Οὐ λέκτρά τ' ἀλλήλοισιν, ὧν οὐδεὶς νόμος
„ Συνῆψαν; οὐ δεσμοῖσι διὰ τυραννίδας
„ Πατέρας ἐκηλίδωσαν, ἀλλ' οἰκοῦσ' ὅμως
„ Ὄλυμπον, ἠνέσχοντό θ' ἡμαρτηκότες.
„ Καί τοι τί φήσεις; εἰ σὺ μὲν θνητὸς γεγὼς,
„ Φέρεις ὑπέρφευ τὰς τύχας, θεοὶ δὲ μή;
Θήβας μὲν οὖν ἔκλειπε, τοῦ νόμου χάριν.
Ἕπου δ' ἅμ' ἡμῖν πρὸς πόλισμα Παλλάδος
Ἐκεῖ χέρας σὰς ἁγνίσας μιάσματος.
Δόμους τε δώσω, χρημάτων τ' ἐμῶν μέρος.
Ἃ δ' ἐκ πολιτῶν δῶρ' ἔχω, σώσας κόρους
Δὶς ἑπτὰ, ταῦρον Κνώσσιον κατακτανὼν,
Σοὶ ταῦτα δώσω· πανταχοῦ δέ μοι χθονὸς
Τεμένη δέδασται. ταῦτ' ἐπωνομασμένα
Σέθεν τὸ λοιπὸν ἐκ βροτῶν κεκλήσεται,
Ζῶντος· θανόντος δ', εὖτ' ἂν εἰς ᾅδου μόλῃς,
Θυσίαισι, λαΐνοισί τ' ἐξογκώμασι,
Τίμιον ἀνάξει πᾶσ' Ἀθηναίων πόλις.
„ Καλὸς γὰρ ἀστοῖς στέφανος Ἑλλήνων ὕπο,
„ Ἄνδρ' ἐσθλὸν ὠφελοῦντας εὐκλείας τυχεῖν.
Κἀγὼ χάριν σοὶ τῆς ἐμῆς σωτηρίας
Τήνδ' ἀντιδώσω. νῦν γὰρ εἶ χρεῖος φίλων.
„ Θεοὶ δ' ὅταν τιμῶσιν, οὐδὲν δεῖ φίλων.
„ Ἅλις γὰρ ὁ Θεὸς ὠφελῶν, ὅταν θέλῃ.

Ἡρ.

Ver. 1318. πατέρας) Saturnum patrem regno expulit ipſe Jupiter.
Ver. 1321. ὑπέρφευ) *Supra modum.*
Ver. 1323. ἕπου) De more Poeta Patriam laudat, quaſi pietatis & benevolentiæ domicilium. Multus, ac prope totus hac in re eſt Tragicus Noſter.
Ver. 1327. ταῦρον Κνώσσιον) h. e. Μινώταυρον Κρητικόν. Minos in Gnoſſo Cretæ regnabat, de cujus Tauro vide alia in totius Fabulæ narratione.
Ver. 1329. ἐπωνομασμένα) h. e. Herculana dicetur ex tuo nomine.
Ver. 1332. λαΐνοισί τ', &c.) h. e. *lapideis ſepulcris.*
Ver. 1337. εἶ χρεῖος) χρεῖος, ut monet H. Stephanus in Lexico, *eſt qui indiget, qui opus habet.* Sic illud Philonis de Vita Moſis, τίς ἔμελλε παρηγορεῖν ἕτερον, αὐτὸς ὢν τοῦδε χρεῖος; *quis alium ſolaretur, cum hos ipſe indigeat?* Hinc Scaliger nulla neceſſitate, ut identidem aſſolet, mutat, ἢ χρεὼ φίλων.

E tra' Numi non avvi alcun non tocco
Dalle fortune ree; ſe pure falſi
Non ſono i carmi de' Poeti: e forſe
Matrimonj non fer tra loro ſteſſi
Da legge alcuna non permeſſi? e avvinti
Tenendoli non fer gire ſcornati
I proprj Padri per regnar? e pure
Albergan nell' Olimpo, e i proprj errori
Eſſi in pace ſoffrir. Ma che dirai,
Se tu, che ſei mortal, con troppo tuo
Traſporto i caſi della vita ſoffri,
E gli Dei non così? Tebe tu dunque
Per la legge abbandona, e vieni noſco
Alla città di Palla: ivi dal fatto
Scempio purgate le tue mani, albergo
Darotti e parte delle coſe mie.
I doni, ch' io dalla cittade ottenni,
Poichè ſalvai quegli due volte ſette
Giovani, ucciſo il toro Gnoſſio, quegli
Steſſi a te donerò. per ogni dove
Della Terra a me poſcia è deſtinata
Parte; ora queſte riportando il nome
Da te vivente, ſian di poi chiamate
Dagli uomini col nome iſteſſo; e quando
Di vita uſcito andrai tra l' ombre inferne
Con ſagrifizj, e con ſtatue di marmo
Degli Atenieſi la cittade tutta
Ti eſalterà; che bella gloria è in vero
De' cittadini il conſeguir onore
Da' Greci, mentre a un uomo prode furo
Di giovamento; onde anch' io tal mercede
Ti renderò, poichè tu mi ſerbaſti.
E ben d' amici omai ti fa meſtiero;
Che già quando gli Dei danno eſſi il fregio
E l' onore, non fa d' uopo d' amici,
Perocchè baſta il ciel, quando a lui piaccia,
Per recar giovamento. *Erc.* oimè! lontane

Ἡρ. Οἴμοι, πάρεργα γὰρ τάδ' ἐστ' ἐμῶν κακῶν.
Ἐγὼ δὲ τοὺς θεοὺς οὔτε λέκτρ', ἃ μὴ θέμις,
Στέργειν νομίζω, δεσμά τ' ἐξάπτειν χεροῖν.
Οὔτ' ἠξίωσα πώποτ', οὔτε πείσομαι,
Οὐδ' ἄλλον ἄλλου δεσπότην πεφυκέναι.
„ Δεῖται γὰρ ὁ Θεός, εἴπερ ἐστ' ὄντως Θεός,
„ Οὐδενός. ἀοιδῶν οἵδε δύστηνοι λόγοι.
Ἐσκεψάμην δέ, καίπερ ἐν κακοῖσιν ὤν,
Μὴ δειλίαν ὄφλω τιν', ἐκλιπὼν φάος.
„ Ταῖς συμφοραῖς γὰρ ὅστις οὐχ ὑφίσταται,
„ Οὐδ' ἀνδρὸς ἂν δύναιθ' ὑποστῆναι βέλος.
Ἐγκαρτερήσω θάνατον. εἶμι δ' εἰς πόλιν
Τὴν σήν, χάριν τε μυρίων δώρων ἔχω.
Ἀτὰρ πόνων δὴ μυρίων ἐγευσάμην.
Ὧν οὔτ' ἀπεῖπον οὐδέν, οὔτ' ἀπ' ὀμμάτων
Ἔσταξα πηγάς· οὐδ' ἂν ᾠόμην ποτὲ
Εἰς τοῦθ' ἱκέσθαι, δάκρυ' ἀπ' ὀμμάτων βαλεῖν.
Νῦν δ' ὡς ἔοικε, τῇ τύχῃ δουλευτέον.
Εἶεν. γεραιέ, τὰς ἐμὰς φυγὰς ὁρᾷς,
Ὁρᾷς δὲ παίδων ὄντα μ' αὐθέντην ἐμῶν.
Δὸς τούσδε τύμβῳ, καὶ περίστειλον νεκροὺς
Δακρύοισι τιμῶν· ἐμὲ γὰρ οὐκ ἐᾷ νόμος.
Πρὸς στέρν' ἐρείσας μητρί, δούς τ' εἰς ἀγκάλας

Κοι-

Ver. 1340. *πάρεργα γάρ*, &c.) *τὸ γὰρ* addidit Barnesius, quia ante versus una carebat syllaba. Legebatur enim *πάρεργα τάδ'*, &c. Scaliger malit legere *πάρεργα τοιάδ'*, æque bene. Ego vero, quia deinde sequitur *ἐγὼ δὲ*, hoc loco legerem, *πάρεργα μὲν τάδ'*, &c. Istuc certe paullo elegantius videtur.

Ver. 1345. *Δεῖται γάρ*, &c.) Vera de Deo sententia, quæ jam in proverbium abiit, *nullius indiget Deus*.

Ver. 1349. *Ταῖς συμφοραῖς*) Vi præpositionis *ὑπὸ* verbi *ὑφίσταται*, quæ & dandi casui, & accusandi inservit, non est necesse legere *τὰς συμφοράς*, ut malit H. Stephanus.

Ver 1350. *βέλος*.) *βέλει* legit H. Stephanus. At *ὑποστῆναι βέλος*, & *βέλει* ob eandem caussam, quam commemoravimus, dicitur, ut animadvertit etiam Barnesius.

Ver. 1355. *πηγάς*.) h. e. *δάκρυα*, *lacrymas*.

Ver. 1361. *ἐμὲ γάρ*, &c.) Hæc *διὰ μέσου* ponenda. Dicit Hercules sibi vetitum esse, ne justa faciat filiis, quia eos interfecerat.

Ver. 1362. *δούς τ'*) Miltonus putat legendum *δός τ'*; at minus quidem perite; siquidem præcedit *ἐρείσας*, & ante legitur *περίστειλον*. Quorsum igitur modo enallage temporis? Nihil est mutandum.

Sono da' danni miei coſe sì fatte,
Nè penſo io già, che gl' imenei, che ſono
Dalla legge vietati, amino i Numi,
Nè di appendere i lacci e le catene
Alle mani, nè mai credetti coſa,
Nè crederolla già degna de' Numi,
Che aveſſe ſopra l' un l' altro dominio;
Poichè un Nume qualor ſia un vero Nume
Non ha d' uopo di coſa alcuna, e ſono
Miſere queſte de' Poeti e vane
Favole, quindi ſe ben io men giaccia
In triſta ſorte, pur meco penſai
Che d' alcun vil timor non mi ſi rechi
Taccia laſciando queſta luce. e in fatto
Colui, che non ſoſtiene i caſi avverſi,
Nemmen potrà far petto alle quadrella
Del nemico: con cor fermo e coſtante
La morte aſpetterò. vommi alla tua
Cittade, e n' ho mercè de' tuoi infiniti
Doni. a mille ed a mille io già ſoſtenni
Ardui cimenti, e nulla mai in coteſti
Io ricuſai, nè giù dagli occhi miei
Stille verſai di pianto, e non penſai
Di giugnere giammai a tale, ch' io
Largo pianto verſar dalle pupille
Doveſſi. or dunque, come appar, ſi dee
Gire in balia della fortuna: avvenga
Ciò, che puote: il mio eſiglio, o vecchio, miri,
E miri ancora me, che l' ucciſore
Fui de' proprj miei figli; a queſti or dona
Sepoltura, ed adorna al modo uſato
I corpi eſtinti, col tuo pianto onore
Recando ad eſſi (che la legge il farlo
A me non laſcia) della madre al ſeno
Avvicina, e riponi intra le braccia
Di lei la prole ſventurata, ch' io

Κοινωνίαν δύστηνον, ἰὼ ἐγὼ τάλας
Διώλεσ' ἄκων. γῇ δ' ἐπὰν κρύψῃς νεκρὺς,
Οἴκει πόλιν τήνδ'· ἀθλίως μὲν, ἀλλ' ὅμως
Ψυχὴν βιάζου τἀμὰ συμφέρειν κακά.
Ὦ τέκν', ὁ φύσας, χ' ὠ τεκὼν ὑμᾶς πατὴρ,
Ἀπώλεσ'· ὐδ' ὤναθε τῶν ἐμῶν καλῶν,
Ἃ 'γὼ παρεσκεύαζον ἐκ μόχθων βίᾳ,
Εὔκλειαν ὑμῖν πατρὸς, ἀπόλαυσιν καλήν.
Σέ τ' ὐχ ὁμοίως, ὦ τάλαιν', ἀπώλεσα,
Ὥσπερ σὺ τἀμὰ λέκτρ' ἔσωζες ἀσφαλῶς,
Μακρὰς διαντλῦσ' ἐν δόμοις οἰκερίας.
Οἴ μοι δάμαρτος, ἐκ τέκνων· οἴ μοι δ' ἐμῦ,
Ὡς ἀθλίως πέπραγμαι, κἀποζεύγνυμαι
Τέκνων, γυναικός τ'. ὦ λυγραὶ φιλημάτων
Τέρψεις, λυγραί τε τῶνδ' ὅπλων κοινωνίαι.
Ἀμηχανῶ γὰρ, πότερ' ἔχω τάδ', ἢ μεθῶ,
Ἃ πλευρὰ τἀμὰ προσπιτνῶντ', ἐρεῖ τάδε.
Ἡμῖν τέκν' εἷλες, ἐκ δάμαρθ'. ἡμᾶς ἔχεις
Παιδοκτόνυς σύς. εἶτ' ἐγὼ τάδ' ὠλέναις
Οἴσω; τί φάσκων; ἀλλὰ γυμνωθεὶς ὅπλων,
Ξὺν οἷς τὰ κάλλιστ' ἐξέπραξ' ἐν Ἑλλάδι,
Ἐχθροῖς ἐμαυτὸν ὑποβαλὼν, αἰσχρῶς θάνω;
Οὐ λειπτέον τάδ'· ἀθλίως δὲ σωστέον.

Ἐν

Ver. 1367. ὑμᾶς) τὸ ὑμᾶς intelligitur ἀπὸ κοινῦ, & ὁ τεκὼν ὑμᾶς, & ἀπώλεσ' ὑμᾶς.

Ver. 1370. εὔκλειαν) τὸ εὔκλειαν dicitur per appositionem ad τὸ παρεσκεύαζον; & sic deinde ἀπόλαυσιν καλήν, de qua lectione vide annotationem sequentem.

Ibid. ἀπόλαυσιν καλήν.) Olim legebatur ἀπόλλυσιν καλήν. Quam lectionem miror tenuisse Brodæum, ut video. Nam ad hæc ita scribit, εὔκλειαν, *appositio*: *&* *honestam mortem*. Quæ verba *honestam mortem* videntur translata ex Græcis ἀπόλλυσιν καλήν. At ἀπόλλυσιν haud dubie vox corrupta est. Perspecte itaque Canterus, ἀπόλαυσιν καλήν.

Ver, 1371. Σέ τ') Alloquitur uxorem Alcmenam, quam etiam interfecerat.

Ver. 1380. ἡμῖν; &c.) Venusta hæc est προσωποιΐα.

Ebbi ſeco comune, e ch' io infelice
Contro mia voglia fei perire. e come
Sotterra aſcoſi avrai gli eſtinti, in queſta
Cittade annida con nemica ſorte,
E' ver, ma pure l' Alma sforza e traggi.
A ſoſtenere meco i danni miei.
Colui, che procreovvi, e generati
V' ebbe, o fanciulli; il proprio padre voſtro
Perir vi feo, nè frutto voi cogliete
De' beni miei, che m' acquiſtai con ardue
Prove a forza; la gloria a voi dal padre
Acquiſtata; ch' è un frutto oneſto: e fei
Miſera te perir, non nella guiſa
Che tu 'l talamo mio fedel ſerbaſti
Ne' miei lari ſoffrendo il grave impaccio
D' una lunga cuſtodia: ed ahi, mia moglie!
Ahi, figli! oimè! quanto in acerbo modo
E ſciagurato oprai, e da' miei figli
E dalla moglie or mi diſgiungo! o amaro
Triſto piacere di ſtamparvi in fronte
I baci! o compagnia nojoſa e acerba
Di queſte armi, ch' io cingo al fianco! ſono
I' già tra due, ſe ritenerle debba
O porle giù; che ſtando al fianco mio
Mi diranno così: per mezzo noſtro
Tu faceſti perir la moglie e i figli,
E noi ritieni tuttavia, che fummo
Ucciditrici de' tuoi figli. ed io
Quindi le porterò nelle mie braccia?
Che dir potrò? ma d' armi nudo e privo,
Con cui sì altere impreſe in Grecia oprai,
Dando me ſteſſo in preda a' miei nemici
In turpe guiſa morirò. por giuſo
Queſt' armi dunque non ſi deon; ma ferme
Ritenerle, ſe bene in triſto modo.

In

Ἔν μοί τι, Θησεῦ, σύγκαμ᾽, ἀθλίου κυνὸς
Κόμιστρ᾽ ἐς Ἄργος συγκατάστησον μολὼν,
Λύπῃ τι παίδων μὴ πάθω μονούμενος.
Ὦ γαῖα Κάδμου, πᾶς τε Θηβαῖος λεὼς,
Κείρασθε, συμπενθήσατ᾽, ἔλθετ᾽ εἰς τάφον
Παίδων, ἅπαντες δ᾽ ἑνὶ λόγῳ πενθήσατε
Νεκρούς τε, κἀμέ· πάντες ἐξολώλαμεν,
Ἥρας μιᾷ πληγέντες ἀθλίῳ τύχῃ.
Θη. Ἀνίστασ᾽, ὦ δύστηνε· δακρύων δ᾽ ἅλις.
Ἡρ. Οὐκ ἂν δυναίμην· ἄρθρα γὰρ πέπηγέ μου.
Θη. „Καὶ τοὺς σθένοντας γὰρ καθαιροῦσιν τύχαι.
Ἡρ. Φεῦ· Αὐτοῦ γενοίμην πέτρος ἀμνήμων κακῶν.
Θη. Παῦσαι· δίδου δὲ χεῖρ᾽ ὑπηρέτῃ φίλῳ.
Ἡρ. Ἀλλ᾽ αἷμα μὴ σοῖς ἐξομόρξωμαι πέπλοις.
Θη. Ἔκμασσε, φείδου μηδέν· οὐκ ἀναίνομαι.

Ἡρ.

Ver. 1386. ἀθλίου κυνὸς, &c.) Brodæus ita explicat, *canem se vocat Hercules, quasi indignus sit hominis appellatione*. Brodæum hoc loco vehementer sugillat Barnesius, *Brodæi me miseret*, inquit, *qui hæc ad hunc locum dicit*. Nam ipse Barnesius ait, *hæc esse omnino de Cerbero sumenda, quem nuper ex Orco ductum necesse erat Herculi Argos portare, & Eurystheo in manus dare*. Hæc Barnesius. At ego non satis video, quomodo hæc de Cerbero dici possint, si Cerberum apud se non habebat Hercules; sed eum reliquerat Hermione, urbe quadam in Peloponneso sita, ubi erat templum Chthoniæ filiæ Colontæ, ut ipse Barnesius scribit ver. 615., quo loco interroganti Amphitryoni, *num Cerberus esset in ædibus Euristhei*, *respondet Hercules*, χθονίας νιν ἄλσος, Ἑρμιών τ᾽ ἔχει πόλις, *Chthoniæ nemus, & Hermion civitas eam belluam* (Cerberum) *habet*. Itaque si de Cerbero esset sermo, petere debebat a Theseo, ut eum ad urbem Hermionem duceret, ubi erat Cerberus. Certe quidem, si de cane locus est intelligendus, dicamus oportet, Herculem tacite intellexisse, se primum cum Theseo Hermionem, quæ jam in Peloponneso erat petere, deinde Argos. Locus hic, de quo hactenus diximus, est Peritiorum animadversione dignus; quandoquidem ver. 1285. dicit Hercules, ἀλλ᾽ Ἄργος ἔλθω; πῶς, ἐπεὶ φεύγω πάτραν; quibus significat, nec Argos petere posse. Quapropter mihi, ni egomet inepte fallor, videntur Critici hunc locum non intellexisse. Κόμιστρον est præmium seu merces, quæ datur ei, qui aliquid κομίζει *portat*. Porro sciendum est, Euristheum certamina plura proposuisse Herculi, ut regnum assequeretur, quorum certaminum postremum fuit κομίζειν Cerberum ex Inferno. Quare petit Hercules a Theseo, ut hac in re una eum adjuvet, scilicet, ut obtineat κόμιστρα Cerberi κομισθέντος, proficiscendo cum ipso adversus Argos, ubi Euristheus erat, ne, si id non contingat, orbatus filiis præ dolore talis jacturæ, quid patiatur, h. e. *ne mortem sibi conciscat*. Totus itaque locus sic explicandus, ἀθλίου κυνὸς, &c. h. e. *præmium miseri canis*,

In una cosa a me l' opra tua porgi
O Teseo, meco unito or fa, contro Argo
Venendo, ch' io per lo condotto acerbo
Cane alfin la mercè dovuta ottenga.
Onde rimasto de' miei figli privo,
Pel dolor non soggiaccia a qualche danno.
O Tebano Paese, o popol tutto
Di Tebe, il crine di tristezza in segno
Tagliatevi, e piagnete insieme, gite
Al sepolcro de' figli, e tutti ad una
Voce gli estinti compiagnete, e seco
Me non meno, che siam tutti periti
Percossi e domi dalla trista sorte,
Che ci diede Giunon. *Tes.* sorgi, o infelice,
A bastanza ti sei disciolto in pianto.
Erc. Sorger non posso; perocchè i miei nodi
S' arranchiaro. *Tes.* ed in fatti anco i più forti
Vengon dalle sventure oppressi e domi.
Erc. Ed oh! piacesse al ciel, che un duro sasso
Io divenissi qui senza membranza
De' danni miei. *Tes.* t' accheta, ed all' amico,
Che ti serve, la man porgi. *Erc.* ma cauto
Attendi, che di sangue io non intrida
Le tue vesti. *Tes.* con esse omai ti netta
Pur, nulla ti rattien, che non ricuso.

Erc.

---

nis, *Cerberi*, ex inferis ducti una mecum adversus Argos veniens, mihi confirma, ne orbatus filiis præ dolore quicpiam patiar. Præmium mihi dandum est ob deductum canem, quod ut obtineam fac tu mecum adversus Argos veniens. Explico μονούμενος παίδων, & cum gignendi casu profecto construitur. Hæc mea explicatio patet etiam ex præcedentibus. Noluit enim projicere arma, ne hostes vincerent. Vide meam ital. interpret.

Ver. 1391. ἐνὶ λόγῳ) h. e. *ut uno verbo dicam*.

Ver. 1397. φεῦ) τὸ φεῦ in metro non est annumerandum. Abs, *hoc in loco*.

Ver. 1399. αἷμα) h. e. *sanguis*, quo sum commaculatus ob cædem filiorum & uxoris.

Ἡρ. Παίδων στερηθεὶς, παῖδ' ὅπως ἔχω σ' ἐμόν.
Θη. Δίδε δέρῃ σὴν χεῖρ', ὁδηγήσω δ' ἐγώ.
Ἡρ. Ζεῦγος δὲ φίλιον· ἅτερος δὲ δυστυχής.
Ὦ πρέσβυ, τοιόνδ' ἄνδρα χρὴ κτᾶσθαι φίλον.
Ἀμφ. Ἡ γὰρ τεκοῦσα τόνδε πατρὶς εὔτεκνος.
Ἡρ. Θησεῦ, πάλιν με στρέψον, ὡς ἴδω τέκνα.
Θη. Ὡς δή τι φίλτρον τοῦτ' ἔχων ῥάων ἔσῃ.
Ἡρ. Ποθῶ· πατρός γε στέρνα προσθέσθαι θέλω.
Ἀμφ. Ἰδοὺ τάδ', ὦ παῖ· τἀμὰ γὰρ σπεύδεις φίλα.
Θη. Οὕτως πόνων σῶν οὐκέτι μνήμην ἔχεις;
Ἡρ. Ἅπαντ' ἐλάσσω κεῖνα τῶνδ' ἔτλην κακά.
Θη. Εἴ σ' ὄψεταί τις θῆλυν, οὐκ ἂν αἰνέσῃ.
Ἡρ. Ζῶ σοι ταπεινός· ἀλλὰ πρόσθεν οὐ δοκῶ.
Θη. Ἄγαν γ' ὁ κλεινὸς Ἡρακλῆς, ποῦ κεῖνος ὤν;
Ἡρ. Σὺ ποῖος ἦσθ' ἄν, νέρθεν ἐν κακοῖσιν ὤν;
Θη. Ὡς εἰς τὸ λῆμα παντὸς ἦν ἥσσων ἀνήρ.
Ἡρ. Πῶς οὖν ἔτ' εἴπῃς, ὅτι συνέσταλμαι κακοῖς;
Θη. Πρόσβαινε. Ἡρ. χαῖρ' ὦ πρέσβυ. Ἀμ. καὶ σύ μοι τέκνον.
Ἡρ. Θάπτ', ὥσπερ εἶπον, παῖδας. Ἀμ. ἐμὲ δὲ τίς, τέκνον;
Ἡρ. Ἐγώ. Ἀμ. πότ' ἐλθών; Ἡρ. ἡνίκ' ἂν θάψῃς τέκνα.
Ἀμ. Πῶς; Ἡρ. εἰς Ἀθήνας πέμψομαι Θηβῶν ἄπο.

Ἀλ'

Ver. 1404. Ὦ Πρέσβυ) Patrem ejus Amphitryonem alloquitur.

Ver. 1405. Ἡ γὰρ, &c.) De Athenis loquitur, ubi regnabat Theſeus, quas mirifice laudat ; quippe quæ omnium præſtantiſſimæ pietate, clementia, bellica gloria, & artium, ſcientiarumque ubertate, bonis omnibus cumulatiſſimæ.

Ver. 1406. πάλιν με στρέψον, &c.) Hic graphice deſcribitur amor Patris in filios, quos iterum intueri amat aviditate ultima.

Ver. 1412. Εἴ σ' ὄψεταί τις, &c.) Olim ita hic verſus legebatur, εἰσόψεταί τις θῆλυν ὄντα, οὐκ ἂν αἰνέσῃ. Verſus duabus ſyllabis redundat. Quare facile credendum τὸ ὄντα, quod παρέλκει in orationem temere irrepſiſſe. Deleto itaque ὄντα, omnia belle ſe habent, nec opus eſt quicpiam mutare, quicquid dicat Barneſius, qui legit ut edidimus. At hercle, ſi retineri debent, quantum fieri poteſt, veteres lectiones, mea conjectura videtur ſane probanda.

Ver. 1415. νέρθεν) h. e. *alte oppreſſus, & cumulatus adverſitatibus.*

Ver. 1416. εἰς τὸ λῆμα) Brodæus explicat, *contra animi propoſitum, quavis in re homo vincitur.* Videtur locum non aſſecutus. Nam εἰς τὸ λῆμα ſignificat, *quod attinet ad præſentiam animi*, παντὸς, h. e. παντὸς ἀνδρὸς *quovis homine inferior eſſem.* Vide ital. interp.

Ver. 1419. ἐμὲ δὲ τίς, h. e. θάψει, h. e. *quis vero me ſepeliet?*

Erc. Privo di figli te per figlio mio
Tengo. *Tes.* la mano tua gettami al collo,
Ch' io guida ti sarò nel gire. *Erc.* amica
Coppia è questa; ma l' un d' essi è infelice.
O vecchio un uom sì fatto aver conviene
Per amico. *Amf.* ed in ver la Patria, ch' hallo
Procreato sen va per l' alma prole
Felice. *Erc.* Teseo, me rivolgi indietro,
Onde i figli rivegga. *Tes.* e quindi avendo
Questo come un conforto alle tue doglie,
N' avrai sollievo. *Erc.* il bramo, ora accostarmi
Voglio al sen di mio padre. *Amf.* eccomi, o
figlio,
Tu desideri ciò, che a me pur piace.
Tes. E così non avrai de' danni tuoi
Più rimembranza? *Erc.* tutti già que' danni
Che sostenni minor sembrano a petto
Di ciò, ch' or provo. *Tes.* se vedratti alcuno
In questa guisa effemminato e molle,
Non loderatti. *Erc.* abbietto io vivo agli occhi
Tuoi; ma spero tornar nel mio primiero
Vigor. *Tes.* ma quel sì illustre inclito Eroe
Ercole, ov' è? *Erc.* qual tu saresti, quando
Sommerso fossi in tanti danni? *Tes.* un uomo
Sarei per vero nello spirto mio
Vil più d' ogni altro. *Erc.* e perchè dunque segui
A dir, ch' io son dalle sventure domo
E sfatto? *Tes.* movi innanzi il passo. *Erc.* il cielo
T' arrida amico, o vecchio. *Amf.* e a te non
meno,
Figlio mio. *Erc.* seppellisci i figli, come
Io ti dissi. *Amf.* e me chi, figlio? *Erc.* quegl' io
Sarò. *Amf.* qui ritornando e quando mai?
Erc. Quando i figli tu avrai posti sotterra.
Amf. Come? *Erc.* in Atene ti farò venire

Da

Ἀλλ' εἰσκόμιζε τέκνα δυσκόμιστα γῇ.
Ἡμεῖς δ' ἀναλώσαντες αἰσχύναις δόμον,
Θησεῖ πανώλεις ἑψόμεσθ' ἐφολκίδες.
„ Ὅστις δὲ πλοῦτον, ἢ σθένος, μᾶλλον φίλων
„ Ἀγαθῶν πεπᾶσθαι βούλεται, κακῶς φρονεῖ.

Χο. Στείχομεν οἰκτροὶ, καὶ πολύκλαυτοι,
Τὰ μέγιστα φίλων ὀλέσαντες.

Ver. 1422. *εἰσκόμιζε .... δυσκόμιστα*) Paronomasia hæc est non invenusta, quam ego, ut potui in italica etiam interpretatione tenui. *εἰσκόμιζε γῇ* significat, *terræ manda*, h. e. *seveli*, *terre tege*.

Ver. 1424. *ἐφολκίδες*) Eadem metaphora supra usus est Noster.

Ver. 1425. Ὅστις, &c.) De hac sententia vide quæ diximus in totius Fabulæ narratione.

Ver. 1428. *τὰ μέγιστα φίλων*) h. e. *τοὺς φίλους μεγίστους*, ut illud Isocratis *τὰ καλὰ τῶν ζώων*. Hi duo postremi versus sunt *ἀνάπαιστοι*.

Εὐριπίδου Ἡρακλῆς Μαινόμενος Τέλος.

Da Tebe; acconcia pur ſotterra intanto
I figli sì mal concj; e noi, ch' abbiamo
Diſtrutta e sfatta la famiglia, l' orme
Di Teſeo ſeguirem, come ſdruſcito
Paliſchermo ſen va dietro alla nave.
Qualunque brama più d' aver ricchezze,
O potente valor, che fidi amici,
Forſennato conſiglio in ſeno nutre.

Co. Andiamo noi, che degni
Ben ſiamo di pietade,
E d' eſſere compianti
A largo pianto, avendo
Perduti i noſtri amici
I più valenti e prodi.

Fine Dell' Ercole Furioſo di Euripide.

ΚΑΡΜΗ'ΛΟΥ

ΛΟ'ΓΟΣ Α'ΠΟΛΟΓΗΤΙΚΟ'Σ.

CARMELI

ORATIO APOLOGETICA.


ΚΑΡΜΗ'ΛΟΥ

Πρὸς τὸν ἐλλογιμώτατον καὶ λαμπρότατον ἄνδρα

Α'ΝΤΩ'ΝΙΟΝ ΣΤΡΑΤΗΓΟ'Ν

Κρῆτα Διδάσκαλον καὶ Ἐπιστάτην τοῦ ἐν τῷ Παταβίῳ Κωττουνιανοῦ Ἑλληνομουσείου,

ΛΟ'ΓΟΣ ΑΠΟΛΟΓΗΤΙΚΟ'Σ.

Γούμενος μὲν ἐγὼ μάλιστα πρέπειν, τὸν περὶ γραμμάτων Ἑλληνικῶν γράφοντα, τινὶ τῶν Ἑλλήνων ἐπιστήμονι καὶ σοφῷ ἀποστέλλειν τὰ γεγραμμένα, τόνδε τὸν λόγον ἀπέσταλκά σοι, ὡς ἱκανῷ τε καὶ σώφρονι καὶ δικαίῳ κριτῇ τούτων, ὑπὲρ ὧν νυνὶ τυγχάνω ὢν ἀπολογούμενος. Οὐδένα δὴ ἄλλον ἂν δυναίμην παρακαλεῖν πρὸς κρίσιν ταύτην ἐπιτηδειότερον, ἢ σὲ ἄνδρα σοφώτατον, καὶ μὴ μόνον ἐν τοῖς γράμμασι μὲν τῆς Ἑλλάδος γεγονότα τε καὶ τεθραμμένον, ἀλλὰ δὲ καὶ σπουδῇ καὶ ἀκριβείᾳ οὕτως ἠσκημένον, ὥστ' οὐδὲ πάντα τὸν χρόνον λήθην, οὐδὲ πάντα τὸν φθόνον σκότος τῇ σοφίᾳ τῇ σῇ (τοσοῦτον γὰρ διαφερόντως προέχεις) ἐμποιῆσαι δυνάσθαι. Πρὸς δὲ τούτοις, ἐγὼ μὲν ταῦτα πεποιηκὼς μιμητής τινα τρόπον γίνομαι τοῦ Κικέρωνος, ὃς πάλαι τὸ ὑπόμνημα τῆς αὐτοῦ ὑπατείας γλώττῃ συνταξάμενος ἑλληνικῇ, αὐτῷ γ' Ἀττικῷ ἀνδρὶ Ῥωμαίῳ φίλῳ καὶ σοφωτάτῳ ἀπέσταλκε, τοιαῦτα γράφων: *Commentarium consulatus mei græce compositum misi ad te; in quo si quid erit, quod homini Attico minus græcum eruditumque videatur, non dicam, quod tibi, ut opinor, Panormi Lucullus de suis historiis dixerat, se quo facilius illas probaret Romani hominis esse, idcirco barbara quædam & obsoleta dispersisse: apud me si quid erit hujusmodi, me imprudente e-*

rit

CARMELI

Ad eruditiſſimum & clariſſimum virum

ANTONIUM STRATEGUM

Cretenſem, Magiſtrum & Rectorem Cottuniani Patavini Collegii

ORATIO APOLOGETICA.



Xiſtimans ego maxime decere eum, qui de Græcis litteris ſcribit, cuipiam Græcorum erudito atque ſapienti viro ea, quæ ſcripſit, mittere, orationem hanc miſi tibi, tamquam idoneo, prudenti, & æquo harum rerum æſtimatori, quarum nunc apologiam inſtituo. Neminem quidem alium ad hæc dijudicanda aptiorem appellare poſſem, quam te virum ſapientiſſimum, & in Græcis litteris non modo natum & altum; ſed etiam ſtudio atque diligentia ita exercitatum, ut nullum tempus memoriam ſapientiæ tuæ delere, nullaque invidia tenebras (tantopere enim mirifice excellis) offundere poſſit. Præterea ego iſtuc cum fecerim quodammodo exiſto Ciceronis imitator, qui olim, commentario conſulatus ſui græce compoſito, illud Attico Viro Romano amico, eidemque ſapientiſſimo miſit, hæc ſcribens: *Commentarium conſulatus mei græce compoſitum miſi ad te; in quo ſi quid erit, quod homini Attico minus græcum eruditumque videatur, non dicam, quod tibi, ut opinor, Panormi Lucullus de ſuis hiſtoriis dixerat, ſe quo facilius illas probaret Romani hominis eſſe, idcirco barbara quædam & obſoleta diſperſiſſe: apud me ſi quid erit hujuſmodi, me imprudente*

vit & invito. Τούτῳ μὲν οὖν παραδείγματι χρώμενον τίς ἂν ἐμὲ αἰδὼς ἔχοι, σφαλῆναι, ἐὰν σφαλῆναι ἐμοὶ συμβῇ, διαῤῥήδην ὁμολογεῖν; μηδεμία, μὰ θεούς. Οὐ μὴν ἀλλὰ σχέτλιον μέν ἐστι σφόδρα πάνυ καὶ ἀφόρητον, ἀγνώμονι κριτῇ περιτυχεῖν, ὡς Ξενοφ. ἔφη, διὰ δὲ τοῦτο, ἀδίκως δίκην ὀφλισκάνειν, ἀναίτιόν τ' αἰτιάζεσθαι, καὶ ταῦτα μὲν, ὑπ' ἀνθρώπου, μὴ λέγω ποίου, μὰ Δία οὐκ ἀναμαρτήτου. Καὶ μέν τοι, ὡς Δημοσθένης ἔφη, τὸν κατηγοροῦντα τῶν ἄλλων αὐτὸν ἀνεξέλεγκτον ὑπάρχειν δεῖ. Διὰ τοῦτο μὲν οὖν, ὅτι περὶ Εὐριπίδου (ἴσως μὲν ἤδη, ὅντινα λέγω ποιητὴν τραγικώτατον, ὑπνός τε κλέους ἄξιον) ὁ δεῖνα τῆς Λιψίας πολλὰ λοιδορούμενος βεβλασφήμηκεν, ἀναγκαῖον ὑπέλαβον ἅμα καὶ δίκαιον, αὐτοῦ ὑπερειπεῖν, καὶ τοσούτου φθόνου καὶ δυσκλείας ἄνδρα τηλικοῦτον, ὁμοίως τ' ἐμαυτὸν τὸν ἰταλίας γλώττῃ τὰς αὐτοῦ Τραγῳδίας μεταφράσαντα, ἐν παρόδῳ ἀπαλλάττειν, εἰκότως. Ἀνέγνωκας γὰρ σὺ τὸν λόγον, καὶ δεδοκίμακας· ἀνέγνωσαν καὶ πλεῖστοι τῶν ἄλλων, κἀπῄνεσαν· δεδηλώκασιν αὐτὸν δ' ἔτι καὶ τῶν Σοφῶν ἰταλῶν Ἐφημερίδες, αἵτινες μὲν ἐγκωμιάζουσαι ἔτυχον οὖσαι. Μόνον δ' ἐζημίωσε τοῦθ', ὅτι περὶ τῶν Τραγῳδιῶν τῶν ἐμῶν πικρότερόν τε καὶ ἀκριβέστερον ἐξετάζειν ὁ ἀντίδικος ἐπιχειρῶν, εὕρηκεν, ὡς οἴεται, πολλάγ', ἐφ' οἷς δεικνύναι σαφῶς, ὅτι ἥμαρτον. Καὶ πρῶτον μὲν ἐν τοῖς λατίνοις σημειοῦντά μέ τινά γ' ὡς βάρβαρα ἐν τῷ λογιδίῳ αὐτοῦ, οἷον *versio* ἀντὶ *interpretatio*, *attrectare Euripidem* ἀντὶ *versare*, *legere*, καὶ τἄλλα παραπλήσια, αὐτὸν τὸν τρόπον αὐτὸς ἀμείβεσθαι τοῖς ὁμοίοις πειρᾶται σημειῶν καὶ ἐν τῷ λόγῳ τῷ ἐμῷ ταῦτα. Πρῶτον, *ridere in stomacho* ἀντὶ *ridere præ indignatione*, ἀλλὰ ὁμοίως Κικέρων βιβλ. β. Ἐπιστ. Οἰκ., *ut scires, me tantum in stomacho solere ridere*, τουτέστιν, *in indignatione*. Δεύτερον, *Trojana pulvis*, ἀλλὰ *pulvis* ὄνομα ἐπίκοινόν ἐστι· διόπερ λέγεται παρὰ Προπερτίῳ *Hetrusca pulvis*. Τρίτον, *statuere mortem alicui* ἀντὶ *cædem decernere*, ἀλλὰ *statuere* ταὐτὸ μέν ἐστιν, ὅπερ *decernere*, *præscribere*, *mors* δὲ ἀντὶ *ipsa cædes* λαμβάνεται. Καὶ τούτῳ γὰρ ὅμοιον τὸ παρὰ Κικέρωνι *consciscere sibi mortem* ἀντὶ *sibi necem inferre*. Οὕτω

δὲ

erit & invito . Hoc igitur exemplo usus cur vererer, me erravisse, si factum esset, ut erraverim, palam fateri? minime hercle quidem. Verum enimvero miserum admodum est, atque non ferendum imperitum nancisci rerum judicem, ut Xenophon ait, atque propterea injuste damnari, culpaque vacuum insimulari, atque hæc a viro fieri, non dicam, quo, non mediusfidius a culpa, atque erroribus soluto. Atqui sane, ut Demosthenes ait, qui alios accusat, ipse sit oportet a culpa liber. Hanc igitur ob caussam, quoniam probra in Euripidem (scis jam belle, quem dico Poetam maxime Tragicum, & qua laude dignum) Vir quidem Lipsiensis vehementer carpens congessit, fas esse atque necessarium putavi de eo dicere, & ab invidia atque infamia tanta tantum virum, meque ipsum una, qui ejus Tragœdias italice reddidi, veluti obiter, æquo jure liberare. Legisti orationem, atque etiam probavisti. Legerunt plurimi alii, atque laudarunt. Eam porro Ephemerides litteratorum virorum Italiæ commemorarunt, & commendavere. Hoc autem unum offecit, quod Adversarius Tragœdias meas expendere acrius & diligentius aggressus, invenit, ut ejus fert opinio, multa, quibus palam facere, me peccasse. Primum, quod ad latina pertinet, annotanti mihi quædam veluti barbara in ejus oratiuncula, ut *versio* pro *interpretatio*, *attrectare Euripidem* pro *versare*, *legere*, & alia his similia, eodem & ipse pacto par pari respondere conatur annotans hæc & in oratione mea: primum, *ridere in stomacho* pro *ridere præ indignatione*; at sane perinde Cicero lib. 2. Epist. Famil. *ut scires, me tantum in stomacho solere ridere*, hoc est, *in indignatione*. Secundum, *Trojana pulvis*, at *pulvis* nomen communis generis est. Quapropter apud Propertium dicitur *Hetrusca pulvis*. Tertium, *statuere mortem alicui* pro *cædem decernere*; at *statuere* idem est, ac decernere, præscribere; *mors* autem pro *ipsa cæde* sumitur. Huic simile est illud apud Ciceronem *consciscere sibi*

 mor-

δὲ καὶ οἱ Ἕλληνες λέγουσι, κατακρίνω σου θάνατον. Τέταρτον, *quadamtenus*, ἀλλὰ ταὐτὸ παρ' Ὁρατίῳ, *Est quadam prodire tenus, si non datur ultra*. Ἄλλως δὲ παραλείπω. Πέμπτον, *exempla sub manum*, ἀλλὰ *sub manum esse* ταὐτό γ' ὅπερ *in promtu esse*. Ὧδε λέγειν φιλοῦσι καὶ Κικέρων ἐν ταῖς οἰκ., καὶ Πλαῦτος ἐν Ἀλαζόνι, κἄλλοθι. Ὅπερ ἤδη καὶ τῶν Ἑλλήνων ἐστὶ, ὑφ' ἑαυτῷ ποιεῖσθαι, καὶ ὑφ' ἑαυτὸν *sibi subjicere*. Ἕκτον, *laudem aliis arripere* ἀντὶ *præripere*, ἀλλὰ *arripio* σημαίνει καὶ *rapio*. Ἀνάγνωθι τὸν Νιζόλιον. Ἔτι δ' ὁ Ταυβμαννὸς οὕτω λέγει *Arripitur homo, vel res, homo ad pœnam, res ad rapinam*. Κικέρων δὲ λέλεχε *præripere laudem* ἀντὶ *ante capio*, τουτέστι, *cui me præripere desponsam jam & destinatam laudem, valde esset iniquum*. Ἕβδομον, *Lexicon Latinum typis Seminarii Patavini accuratissime conscriptum* ἀντὶ *excusum*, ἀλλὰ ὁ τόπος οὗτος ὑπὸ τοῦ κατηγόρου ἀποκόπτεται. τέλεος οὕτως ἔχει, *Vir eruditissime, qui Lexicon Latinum typis Seminarii Patavini accuratissime conscriptum in lucem emisisti, &c.* Τὰ μὲν *typis Seminarii Patavini* πρὸς τὸ *in lucem emisisti* ἀναφέρεται, τὸ δὲ *accuratissime conscriptum* πρὸς ἄνδρα τὸν συνταξόμενον τὸ λεξικόν. Πρὸς δὲ τούτοις ἐν δέκα τραγῳδίαις τρία ταῦτα σημειῶ. Πρῶτον, *pendo animi* ἀντὶ *pendeo* ἐν τῇ Ἀλκέστ. Ἀποκρύπτεται, ὅπερ ἀντὶ σφάλματός ἐστιν ἐν Ὀρέστ. 887. *pendeo animi*. Δεύτερον, *vetavisse* ἀντὶ *vetuisse*, ἁμαρτῶς τοῦ *a* ἐπιβεβλημένου διὰ σφάλμα τοῦ Τυπογράφου· οὐ μὴν ἀλλὰ παρὰ τῷ Περσίῳ καὶ *vetavi* ἔξεστιν εὑρεῖν. Τρίτον, *vetustium* ἀντὶ *vetustiorum*, παραπλησίως διὰ σφάλμα τοῦ Τυπογράφου, ἀλλὰ καὶ τοῦτο ἴσως διὰ συγκοπῆς δύναται λέγεσθαι, οἷον *socium pro sociorum*, καὶ τἆλλα πολλὰ, τοῦ *or* συγκοπτομένου, παρὰ Πλαύτῳ, καὶ τοῖς ἄλλοις. ἀλλὰ μὴν ταῦτα, καὶ τἆλλα σφάλματα, θέλοντος οὕτω τοῦ Τυπογράφου ἐκ τῶν ἰδίων ἀναλωμάτων αὐτὰς ἐκδιδόντος, εἰς τέλος πασῶν τῶν Τραγῳδιῶν ἀναβάλλεται. Περὶ τούτων μέχρι τοῦδε ὁ ἀντίδικος.

Ἔπειτα δ' ἐπ' αὐτὰς τὰς Τραγῳδίας καθόλου βαδίζει, καὶ πολλὰ ψευδόμενος αἰτιᾶται καὶ παραδειγματίζει. Πρῶτον μὲν φησὶ μεμφόμενος, ἔκδοσίν με τοῦ Βαρνεσίου τιμῆς οὐδὲν ἀξιουμένην ἀπο-

γρά-

mortem, pro *ſibi necem inferre*. Sic autem & Græci loquuntur, καταχειρῶ σοι θάνατον. Quartum, *quadantenus*; at idem apud Horatium. *Eſt quadam prodire tenus, ſi non datur ultra*. Alios mitto. Quintum, *exempla ſub manum*; at *ſub manum eſſe* idem eſt, ac *in promtu eſſe*. Sic dicere ſolent & Cicero in Famil., & Plautus in Mil. Glor., & alibi. Quod jam eſt etiam Græcorum, ὑφ' ἑαυτῷ, & ὑφ' ἑαυτὸν ποιεῖσθαι, ſibi ſubjicere. Sextum, *laudem aliis arripere* pro *præripere*; at *arripio* ſignificat etiam *rapio*. Lege Nizolium. Porro Taubmannus hæc habet, *Arripitur homo, vel res, homo ad pœnam, res ad rapinam*. Cicero vero dixit *præripere laudem* pro *ante capio*, hoc eſt, *cui me præripere deſponſam jam, & deſtinatam laudem, valde eſſet iniquum*. Septimum, *Lexicon Latinum typis Seminarii Patavini accuratiſſime conſcriptum* pro *excuſum*; at hic locus ab Adverſario mutilus affertur. Integer ſic ſe habet, *vir eruditiſſime, qui Lexicon Latinum typis Seminarii Patavini accuratiſſime conſcriptum in lucem emiſiſti, &c.* Verba hæc *Typis Seminarii Patavini* referuntur ad illa *in lucem emiſiſti*, hæc vero *accuratiſſime conſcriptum*, ad virum illum, qui Lexicon confecit. Præterea in decem Tragœdiis tria hæc annotat. Primum, *pendo* animi pro *pendeo* in Alceſtide. Diſſimulat quod eſt ſine mendo in Oreſt. ver. 887. *pendeo animi*. Secundum, *vetaviſſe* pro *vetuiſſe* facile addito *a* ex Typographi errore. Quamquam apud Perſium etiam *vetavi* invenitur. Tertium, *vetuſtium* pro *vetuſtiorum*, perinde ex Typographi errore. At fortaſſe ſic etiam per ſyncopen dici poteſt, ut *ſocium* pro *ſociorum*, & alia pleraque, demto *or*, apud Plautum, & alios. Atqui hæc & alia menda, ita volente Typographo, qui propriis ſumtibus eas edidit, in finem omnium Tragœdiarum rejiciuntur. De his hactenus Adverſarius.

Deinde vero in ipſas Tragœdias univerſim ſtilum exacuit, & plura falſo accuſat, & in invidiam conjicit. Primum dicit irridens, me editionem Barneſii

γράφειν. Οὐ μὴν ἀλλὰ ὁ Φαβρίκιος ἐν Βιβλιοθήκῃ τῇ Ἑλληνικῇ περὶ πλείστου αὐτὴν ποιεῖται, καὶ μάλιστα πασῶν τῶν ἄλλων ἐπαινεῖ. Δεύτερον, σὺν τοῖς αὐτοῖς σφάλμασι τυπογραφικοῖς ἀπογράφειν. Σφάλματα μὲν ὑπάρχειν καὶ ἐν τῇ τοῦ Βαρνεσίου, κἂν ἀκριβῶς ἐκδοθείσῃ ἐν Κανταβριγίᾳ, οὐκ ἀρνοῦμαι. Σχεδὸν γὰρ ἀδύνατον ποιεῖν, ὅπως μὴ σφάλματα γίνηται. Τούτου δ' αἴτιον, πρὸς ἄλλοις, ὅτι πολλάκις οἱ μὲν αὐτοὶ Τυπογράφοι ἐν τῷ τὰ ἐπανωρθωμένα ἐπανορθοῦν, ἐπανορθοῦντες αὖθις διαφθείρουσιν. Διόπερ ἐν τῇ ἡμετέρᾳ ἐκδόσει καλῶς ἐπανωρθωμένα ἐστὶν οὐκ ὀλίγ', ἅπερ μὲν ἐν τῇ τοῦ Βαρνεσίου φαίνεται διεφθαρμένα· τουτέστιν ἐν Ἑκάβῃ στιχ. 993. ἐν τῇ τοῦ Βαρνεσίου γράφεται κρυφίως παρὰ μέτρον, ἐν δ' ἡμετέρᾳ κρύφιος κατὰ μέτρον. Ἐν Μηδείᾳ στιχ. 790. ὅλος μὲν λείπεται, ὑπάρχει δ' ἐν ἡμετέρᾳ, κἀκεῖ ταῦτα δεδήλωκα, *Integer hic versus in editione Barnesii desideratur.* σφάλμα *certe typographorum est. Hoc dico, ne quis putet, accuratiores etiam editiones magno in pretio habitas mendis carere posse. Quæ cum ita sint, tamen non raro fit, ut morosi quidam homines, si quæ vel levia offendant* σφάλματα, *id auctori vitio vertant, & editionem ceterum accurate diligenter politeque elaboratam minimi faciant.* Παραπλησίως ἐν Μηδ. στιχ. 1289. ἐν τῇ τοῦ Βαρνεσίου γράφεται ζωνθανοῦσ', ἐν δ' ἡμετέρᾳ ξυνθανοῦσ'. Ἐν Ἱκετ. στιχ. 875. πολλάκης, ἐν ἡμετέρᾳ πολλάκις. στιχ. 1071. σομπυρουμένῳ, ἐν ἡμετέρᾳ συμπυρουμένῳ. Ἐν Ἰφιγ. ἐν Αὐλ. στιχ. 550. μετέχομαι, ἐν ἡμετέρᾳ μετέχοιμι, ὡς λεκτέον· Ὁμοίως τ' ἄλλα γ', ὡς ἔπος εἰπεῖν, ἐν ταῖς ἄλλαις Τραγῳδίαις. Ἀλλά τοι, τύποις ἐπανωρθωμένοις ἐν τῇ τοῦ Βαρνεσίου, ἕτερα ἤδη συμβέβηκεν ἐν τῇ ἡμετέρᾳ κἄλλως τ' ἐν ταῖς ἀποσημειώσεσι, χαρακτῆρσι μικροστίχοις ἐνίοθ' οὕτω τετυπωμέναις, ὥστε τοῖς ἐπανορθοῦσιν οὐχ οἷόν τ' εἶναι διορθοῦν, μήτε διακρίνειν. Τρίτον, τῷ μὲν Στιβλίνῳ προσέχειν τὸν νοῦν, τὸν δὲ Κάντηρον καὶ Σκαλίγερον περὶ ὀλίγου ποιεῖσθαι. Μᾶλλον μὲν οὖν τοὐναντίον, τὸν μὲν Στιβλῖνον σπανίως, ὡς τὰ πολλὰ δὲ τὸν Κάντηρον ἐπάγομαι καὶ τὸν Σκαλίγερον. Ἀλλὰ μὴν ἔξεστι μὲν καὶ τῶν διανοιῶν τῶν τούτων ἀφιστάναι, καὶ χρὴ δή, ὅπου προσῆκον εἶναι

νομί-

nihili faciendam ſequi . At vero Fabricius in Bibliotheca Græca eam plurimi facit, præque ceteris omnibus valde commendat. Secundum , eam me una cum ipſis mendis Typographicis deſcribere. Menda inveniri etiam in Barneſiana , etiamſi fuerit Cantabrigiæ diligenter edita, haud nego . Vix enim fieri poteſt, ne menda ſint. Quod ex eo fit, præter alia , quia ſæpe Typographi ipſi, dum emendata emendant, emendantes iterum corrumpunt . Quapropter in editione noſtra , belle emendata ſunt haud pauca , quæ in Barneſiana corrupta leguntur ; hoc eſt, in Hecuba ver. *993*. in Barneſiana ſcribitur χρυφίως contra metrum ; in noſtra vero κρύφιος, ut metrum requirit . In Medea ver. *79*c. integer verſus deſideratur , extat autem in noſtra , & eo loco hæc annotavi : *Integer hic verſus in editione Barneſii deſideratur .* σφάλμα *certe typographorum eſt. Hoc dico , ne quis putet , accuratiores etiam editiones magno in pretio habitas mendis carere poſſe . Quæ cum ita ſint , tamen non raro fit , ut moroſi quidam homines , ſi quæ vel levia offendant* σφάλματα , *id auctori vitio vertant , & editionem ceterum accurate diligenter politeque elaboratam minimi faciant* . Perinde in Med. ver. 128*9*. in Barneſiana ſcribitur ζωυθανῦσ', in noſtra vero ξυνθανῦσ' . In Suppl. ver. 875. πολλάκης , in noſtra πολλάκις . Ver. 1071. σομπυρυμένῳ , in noſtra συμπυρυμένῳ . In Iphig. in Aul. ver. 550. μετέχομαι , in noſtra μετέχοιμι , ut eſt dicendum . Similiter & alia, ut paucis rem complectar , in aliis Tragœdiis . At vero , his emendatis in Barneſiana , alia in noſtram irrepſere, præſertim vero in annotationibus, quæ characteribus minutiſſimis aliquando ita ſcriptæ ſunt , ut illi , qui corrigunt , nequeant diſpicere , atque dignoſcere. Tertium, me Stiblino adhærere ; Canterum vero & Scaligerum parvi facere . Immo contra , raro quidem Stiblinum , identidem autem Canterum cito , atque Scaligerum . Atqui licet etiam ab eorum ſententiis diſcedere , & neceſſe eſt quidem , ubi con-

ſen-

νομίζεται. Τίς γὰρ οὐκ οἶδεν, ὅτι συμφέρει, γνώμας πολλὰς ἐν μέσῳ τεθεῖναι καὶ ποικίλας, ὅπως ἂν ἡ ἀλήθεια σαφεστέρα γένοιτο. Τὰ τοῦ Βαρνεσίου, καὶ τῶν ἄλλων ἐγὼ μὲν οὐδὲ τελείως ἀναλαμβάνω, οὐδ' ἀχρεῖον, ἀλλὰ γὰρ ἐξετάζομαι. Τελευταῖον δ', ὡς συντόμως εἰπεῖν, περὶ τὸ κράτιστον τοῦ πράγματος, ὅσον ἐστὶν ἐπ' ἐμοὶ, διατρίβειν ἐπιχειρῶ. Τί ποτ', εἰ ἑβραϊκοῖς ποσιν (ἐλέγχομαι γὰρ καὶ διὰ τοῦτο) χρῶμαι οὐ παρακαίρως; Ἀπόδειξιν γὰρ ἐκ τούτων ποιοῦμαι καλῶς, ἥντινα πρὸς ἀλλήλας εἰλήφασιν ὁμοιότητα αἱ παλαίτεραι γλῶσσαι, καὶ ὅσον ἐν ταῖς αὐτῶν ἰδέαις σπουδαῖοι ὑπῆρξαν οἱ ἄνθρωποι τὰ πολλά. Ψεκτέον ἄρα γε καὶ τοῦτο; μὴ γένοιτο, πρὸς θεῶν. Εὐφήμει, ὦ τᾶν· οὐ γὰρ δεῖ ψόγον ἔπαινον νομίζειν. Ἔπειτα δὲ παιδείας ἀπόρως με ἔχειν καὶ κριτικῆς ὁ ἀντίδικός φησι. Πάντα μὲν ἐξηγεῖσθαι, καὶ οὐδὲν παραλείπειν, περὶ ὧν λόγους ποιούμεθα, σπουδάζοντες διατελοῦμεν. Τῶν Τραγῳδιῶν γὰρ ἑκάστη τὴν διήγησιν προτασσομένην ἔχει μετ' ἀκριβείας, ὡς οἷόν τ' ἐστὶν, ὑπ' ἐμοῦ γεγραμμένην, ἐν ᾗ πάνθ' ὅσα μὲν τῷ Δράματι προσήκοντα ἑωράκαμεν, οὐ παραλείπεται. Τοῦτο δ' ἑκάστῳ τῶν ἀναγινωσκόντων δῆλον, οὐδὲ περὶ ἐμαυτοῦ δέομαι λέγειν· λέγω δ' ὅτι λέγειν ἀναγκάζομαι. Ταῦτα μὲν καθόλου. Καθ' ἑκάστην δὲ τῶν Τραγῳδιῶν ὡδί με κατηγορεῖ.

Ἐν Ὀρεστ. στιχ. 12. φησί, με ἠγνοηκέναι, ξήνασα παρὰ ξαίνειν γενέσθαι.

Ψεύδεται. Δεδήλωκα γὰρ ἐγὼ ταῦτα ὁμοίως, ὥσπερ Σχολιαστής τε καὶ Ε. Στέφανος παρὰ τοῦ Σχολιαστοῦ παραλαβών. Ἐπεὶ τὸ ξήνασ' τῷ ἐπέκλωσεν παρ' Εὐριπίδῃ συνάπτεται, μεταφορικῶς φησιν Ε. Στέφανος ἐνταῦθα ταὐτὸ σημαίνειν ξήνασ', ὅπερ προξενήσασα, ἢ κατασκευάσασα· καὶ τὸν Σχολιαστὴν ἐπάγεται, παρ' ὅτου κἀγὼ ταύτην παραλαβὼν ἐξήγησιν, τῷ τόπῳ καλῶς προσήκουσαν οὐ παρὰ τρόπον νενόμικα. Καλῶς μὲν τοίνυν, ὅθεν ξήνασα γεγένηται συνῆκα.

Στιχ. 94. Φησί, με νενομικέναι, βούλει υἱς τῆς κοινῆς εἶναι διαλέκτου.

Ὁμοίως

ſentaneum exiſtimatur. Quis enim neſcit, prodeſſe, ſententias multas atque varias in medium afferre, ut ſe veritas luculentius prodat? Quæ ſunt Barneſii, aliorumque haud ego fruſtra & inutiliter recoquo; ſed excutio atque expendo. Tandem, ut paucis dicam, in eo, quod optimum in re eſt, pro mea virili parte, ut verſer operam navo. Quid vero, ſi hebraicis quibuſdam (hanc enim etiam ob cauſſam redarguor) utor non importune? Oſtendo etenim hinc, quanta ſit vetuſtiorum linguarum ſimilitudo, & quam ſæpe homines in notione rerum inter ſe ſe conſenſerint. Iſtuc ne etiam vitio vertendum? Abſit, precor; bona verba, amice, quæſo. Non enim decet, quod eſt laudis, idem probrum exiſtimare. Deinde ab eruditione, & critica inops ab Adverſario dicor. Omnia quidem explanare, nihil prætermittere eorum, de quibus dicimus, diligenter ſolemus. Cuique enim Tragœdiarum diſſertatio quædam præponitur, accurate, quantum in me eſt, elucubrata, in qua ea omnia, quæ Fabulæ convenire vidimus, non prætermittuntur. Iſtuc autem legenti cuique patet, neque eſt, cur de me dicam; dico tamen, quia dicere cogor. Hæc univerſim. Quod autem attinet ad ſingulas Tragœdias, ita me redarguit:

In Oreſt. ver. 12. Dicit, me ignoraviſſe *ξήνασα* a *ξαίνειν* fieri.

Falſo ait. Nam ego ea ratione explicui; qua & Scholiaſtes, & H. Stephanus, qui a Scholiaſte accepit. Quoniam *ξήνασ'* cum *ἐπέκλωσεν* apud Euripidem copulatur, metaphorice, ait H. Stephanus, idem hic ſignificare *ξήνασ'*, ac *προξένησασα*, vel *κατασκευάσασα*, & citat Scholiaſten, a quo ego etiam interpretationem hanc ad hunc locum belle accommodatam accipere non inconcinnum putavi. Appoſite igitur, unde *ξήνασα* factum eſt, intellexi.

Ver. 94. Ait, putaſſe me, *βούλει vis* communis eſſe dialecti.

Pe-

Ὁμοίως ψεύδεται, ἀποσημείωσιν δὲ τὴν ἐμὴν οὐ διέγνωκεν, ἥτις οὕτως ἔχει.: βούλῃ] *In hac lectione acquiescendum. Injectus est quibusdam scrupulus, & mutarunt* βούλει. *In Scholiis est* βούλει. *At interpretes sæpe, non quod dixere Auctores, sed interpretando, quod* κοινῶς *dici solet, scribunt*. Τοιαύτη μὲν ἐστὶν ἡ ἀποσημείωσις ἡ ἐμή. Ὁ δὲ ἀντίδικος ὑπέλαβε, κοινῶς σημαίνειν κοινῇ διαλέκτῳ, σημαίνει δ' ἐνταῦθα ὡς ἐπὶ πολύ. Ταῦτα δὲ συντείνει σαφῶς εἰς τὸν τῆς γραμματικῆς κανόνα οὕτως ἔχοντα: *secunda persona singularis præsentis verbi Pas. & med., sic & futurorum desinit in* ῃ, *Attice in* ει; *communiter vero in hisce quatuor* βούλει *vis*, οἴει *putas*, ὄψει *videbis*, ἔει, *& facta crasi* ει *es*. Τὸ κοινῶς μὲν οὖν, ὅπερ ἐγὼ γέγραφα, τὸ κοινῶς τούτου τοῦ κανόνος σημαίνει.

Στιχ. 254. Φησί, με διεφθαρκέναι τὸν Ποιητὴν, ὅτι ταχὺς ἀντὶ ταχὺ ἔθηκα ἐν τῷ Εὐριπίδου στίχῳ. Πρὸς δὲ τούτοις, τῷ Σχολιαστῇ μ' ἐπιτιμᾶν, καὶ καταφάναι, ταχὺς ἀντὶ ταχέως οὐκ εἶναι παρὰ τὸ εἰωθὸς, παραδείγματος οὐδενὸς προστεθέντος.

Ψεύδεται πάληθῦς κἀνταῦθα. Τοῦ γὰρ ταχὺς τεθειμένου, μὴ διαφθείρεται μὲν ὁ στίχος, ἀλλὰ μᾶλλον δ' ἐπανορθοῦται. Τοιοῦτος γὰρ ὑπάρχει, ταχὺς δὲ μετέθου λύσαν, ἄρτι σωφρονῶν, καὶ τοῦτον τὸν τρόπον καλῶς ἔχει τὸ μέτρον, τουτέστι, ταχυς -- δε με τε -- θου λυσ -- σαν αρ -- τι σω -- φρονων. Ἔπειτα δὲ τῷ Σχολιαστῇ οὐκ ἐπιτιμῶ· λέγω γὰρ μόνον, *Scholiastes habet* ταχέως· μᾶλλον δὲ σιγῇ τοῦτον δοκιμάζω, ἐπειδήπερ καὶ ταχέως τὸ μέτρον οὐκ ἀποπτύει, τοῦ ἀναπαίστου πρότερον τεθειμένου. Τὰ τελευταῖα, παράδειγμα οὐκ ἐξενήνοχα νομίζων, πάνυ εἶναι δῆλον, ὅτι τὰ ὀνόματ' ἀντὶ ἐπιῤῥημάτων λέγεται. Διόπερ ταὐτὸν ἐστὶ λέγειν, *prudens scribo, ac prudenter scribo*. Καὶ τί δεῖ λόγου; Ἀττικὴ διάλεκτός ἐστιν, ἥτις ὀνόμασιν ἀντὶ ἐπιῤῥημάτων χρῆται. Διόπερ οἱ γραμματικοὶ περὶ ὀνομάτων κανόνα τοῦτον τιθέασι, *Adjectiva neutra in singulari, & plurali fiunt adverbia; item in aliis generibus, ut* δρομαῖος ἦλθεν *currens venit*, h. e. *curriculo, cursim: sic* ταχὺς, *&c*. Τῶν παραδειγμάτων τοιούτων πλεῖστα καὶ πρόχειρα, περὶ ὧν ἥ-

κιστα

Perinde falso ait, meamque annotationem non est assecutus, quæ hujusmodi est: βύλῃ) *In hac lectione acquiescendum. Injectus est quibusdam scrupulus, & mutarunt* βύλει. *In Scholiis est* βύλει. *At Interpretes sæpe non quod dixere Auctores; sed interpretando, quod* κοινῶς *dici solet, scribunt*: Hæc mea annotatio est. Adversarius vero putavit κοινῶς significare *communi dialecto*; significat autem hic *communiter*, *ut plurimum*. Hæc autem, ut patet, referuntur ad regulam illam Grammatices, quæ sic se habet: *secunda persona singularis præsentis verbi Pas. & med., sic & futurorum desinit in* ῃ, *Attice in* ει; *communiter vero in hisce quatuor* βύλει *vis*, οἴει *putas*, ὄψει *videbis*, ἔει, *& facta crasi* εἶ *es*. Τὸ κοινῶς igitur, quod ego scripsi, τὸ κοινῶς regulæ hujus significat.

Ver. 254. Ait, me corrupisse Poetam reponendo in textu Euripidis ταχὺς pro ταχὺ. Præterea, me reprehendere Scholiasten, & asseverare, ταχὺς pro ταχέως reperiri, non allato exemplo.

Aberrat a vero & hoc loco. Posito namque ταχὺς, non corrumpitur sane; sed potius emendatur versus. Versus enim est hujusmodi: Ταχὺς δὲ μετέθυ λύσαν, ἄρπι σωφρονῶν, & sic suis numeris constat metrum, h. e. ταχυς -- δε με τε -- θυ λυσ -- σαν αρ -- πι σω -- φρονων. Deinde, Scholiastem non reprehendo. Tantummodo enim dico, *Scholiastes habet* ταχέως. Immo tacite laudo, quoniam ταχέως etiam metrum non respuit, posito anapæsto primo loco. Tandem non attuli exemplum existimans, rem esse valde compertam, nomina pro adverbiis usurpari. Quare idem est dicere *prudens scribo*, ac *prudenter scribo*. Quid plura? Attica dialectus est, quæ nominibus pro adverbiis utitur. Quapropter Grammatici de nominibus hanc regulam tradunt, *Adjectiva neutra in singulari, & plurali fiunt adverbia; item in aliis generibus, ut* δρομαῖος ἦλθεν, *currens venit*, *h. e. curriculo: sic* ταχὺς, *&c.* Id genus exempla plura, & in promtu, quæ singula enumerando recense-

se-

πιστα δεῖ καθ' ἕκαστα λέγοντα διατρίβειν. Αὐτάρκης γὰρ ὁ δεδηλωμένος κανὼν καθ' αὑτὸν σαφῶς λαλεῖ.

Στιχ. 298. Ταῦτα κατ' ἐμοῦ σημειοῖ, Δηλοῖ ἴσχαινε ἀντὶ λέπτυνε. Οὕτω μὲν καὶ ὁ Σχολιαστής, ἀλλὰ μὴν ἂν τὰ Ἑλληνικὰ κατανενοήκει ὁ Καρμήλιος, ἅμα καὶ ὑπομιμνήσκειν ὤφειλεν, ὅτι ὁ σχολιαστὴς ἐν τῇ αὐτοῦ βίβλῳ ἴσχναινε εἶχεν. Τὸ μὲν γάρ ἐστιν *Emacia*, τὸ δὲ *cobibe*.

Τοὐναντίον παντελῶς λεκτέον. Ἐὰν μὲν ὁ ἀντίδικος τὰ Ἑλληνικὰ συνῇ, γὴ Δί' ἑωράκει ἅμα ἰσχαίνω, ἀπὸ τοῦ πρώτου ν, ταὐτὸ μὲν εἶναι ὅπερ ἰσχναίνω, καθάπερ καὶ ἀπισχαίνομαι πιστόν ἐστιν, οἷόνπερ ἀπισχναίνομαι extenuor. Παράδειγμα παρὰ Θεοφρ. Ὁ ἥλιος ὅταν ἀναλάμψῃ, συνεξάγει τὴν οἰκείαν ὑγρότητα, καὶ ἰσχαίνει. Γράφεσθαι μὲν οὕτως Ε΄. Στέφανος μαρτυρεῖ. Τὸν μὲν Σχολιαστὴν ὁ ἀντίδικος ἐπάγεται, τὸν δὲ Σχολιαστὴν οὐκ ἀνέγνωκεν, ὅστις ἤδη σαφῶς, ὅπερ κἀγὼ ἔλεξα, δείκνυσι. Ταῦτα γὰρ παρὰ Σχολιαστῇ· ἴσχαινε] λέπτυνε παρὰ τὸ ἰσχνῶ ἰσχναίνω παράγωγον, ὅθεν καὶ ἰσχάς. Ἴσχαινε ἀντὶ τοῦ ἔπεσχε, πράϋνε, κούφιζε. Οὐχ ὁρᾷ νῦν ὁ κατήγορος, τὸ ἰσχνῶ ἰσχναίνω (ταὐτὸ γάρ ἐστιν ἰσχνόω καὶ ἰσχναίνω) παράγωγον εἶναι; τοῦτο δὲ μεταφορικῶς ὁ Σχολιαστὴς ἐνταῦθα δηλοῖ ἀντὶ ἔπεσχε, καὶ κούφιζε. Ταύτην δ' ἔτι τὴν ἐξήγησιν ὁ λόγος Εὐριπίδου αἰτεῖ σαφῶς, ὡς δοκεῖ. Ψευδολογεῖται μὲν οὖν ἴσχναινε εἶναι *emacia*, ἴσχαινε *cobibe*. Τῶν γὰρ ῥημάτων ἀμφότερον καὶ κυρίως, καὶ μεταφορικῶς, ταὐτὸ σημαίνει.

Στιχ. 712. Φησί, με συνάπτειν παρὰ τὸ Ἄργος, ὅπου ὄνομα κύριόν ἐστιν, ἐν γενικῇ Ἄργου, ἀντὶ Ἄργους.

Κἀνταῦθα μὲν ψευδολογεῖ, ἀποσημείωσιν δὲ τὴν ἐμὴν οὐδὲν μᾶλλον διέγνωκεν. Σεσημείωμαι γὰρ ἐγώ, Ἄργους ἀντὶ Ἄργου τίθεσθαι, ἐπειδήπερ ἀμφότερον τὸν τρόπον λέγουσιν οἱ Κριτικοί, οἱ μὲν Ἄργους, οἱ δὲ Ἄργου τῇ αὐτῇ ἐπισημασίᾳ. Τὸ γὰρ Ἄργους τῆς γενικῆς πτώσεώς ἐστι, καὶ τῆς πόλεως ὄνομα. Τὸ δὲ Ἄργου, ἀνδρὸς ὄνομα. Καὶ ταῦτα μὲν ἔγω γ' ἐκ τοῦ Σχολιαστοῦ εἴληφα ἔχοντος οὕτω, τὸ δὲ Ἄργους γράφεται, καὶ Ἄργου, ἵν', ἢ Ἄργου γαῖαν. Ἄργος μέν, ὥσπερ δῆλον, ὑπῆρξεν ὢν τῶν Ἀργείων βασιλεύς, καὶ κατὰ τοὔνομ' αὐτοῦ Ἀργεῖοι λελεγμένοι εἰσί. Τούτου ἕνεκα, τῷ λέγεσθαι Ἄργου γαῖαν τῶν Ἀργείων χώρα καλῶς δηλοῦται.

Στιχ.

fere operæ pretium non est. Satis enim per se loquitur exposita regula.

Ver. 298. Hæc in me annotat: Exponit ἴσχαινε pro λέπτυνε. Sic quidem Scholiastes. At si Græce intellexisset Carmelius, simul etiam monere debebat, Scholiasten in ejus codice ἴσχναινε habuisse. Illud enim est *emacia*, hoc vero *cohibe*.

Contra omnino dicendum. Si Adversarius Græce intellexisset, vidisset etiam mehercule, ἰσχαίνω sine priori ν, idem esse, ac ἰσχναίνω, quemadmodum & ἀπισχαίνομαι idem est, ac ἀπισχναίνομαι *extenuor*. Exemplum est apud Theoph., ὁ ἥλιος, ὅταν ἀναλάμψῃ, συνάγει τὴν οἰκείαν ὑγρότητα, ἢ ἰσχαίνει. Sic autem scribi testatur H. Stephanus. Adversarius Scholiasten citat, & Scholiasten non legit, qui clare patefacit quod & ego dixi. Hæc enim apud Scholiasten habentur: ἴσχαινε) λέπτυνε παρὰ τὸ ἰσχνῶ ἰσχναίνω παράγωγον, ὅθεν ἢ ἰσχάς. Ἴσχαινε) ἀντὶ τοῦ ἐπίσχε, πράϋνε, χώριζε. Videt ne modo Adversarius, τὸ ἰσχνῶ ἰσχναίνω (idem enim est ἰσχνόω, & ἰσχναίνω) παράγωγον esse? Istuc autem Scholiastes hoc loco metaphorice explicuit pro ἔπισχε, & χώριζε. Hanc autem explicationem oratio Euripidis plane requirit, ut videtur. Falso igitur ait, ἴσχναινε esse *emacia*, ἴσχαινε *cohibe*. Utrunque enim verbum & proprie & metaphorice idem significat.

Ver. 712. Ait, me formare ab Ἄργος, ubi nomen proprium est, in genitivo Ἄργου pro Ἄργους.

Falso & hoc loco ait, meamque annotationem non est assecutus. Annotavi etenim ego, Ἄργους pro Ἄργου poni, quia utroque modo legunt Critici; alii Ἄργους; alii vero Ἄργου, eadem significatione. Nam Ἄργους est gignendi casus, & urbis nomen. Ἄργου vero, nomen viri. Hæc autem ego a Scholiaste accepi, qui ita habet, τὸ δὲ Ἄργους γράφεται, ἢ Ἄργου, ἵν' ᾖ Ἄργου γαῖαν. Argus quidem, ut notum est, Rex fuit Argivorum, & ab ejus nomine Argivi sunt appellati. Quam ob caussam, cum dicitur Ἄργου γαῖαν belle indicatur Argivorum regio.

Ver.

Στιχ. 858. Φησὶν, οὐ 'γὼν ἐμὲ γεγραφέναι, τῶν κανόνων τῆς συναλοιφῆς ἄπειρον. Γραπτέον γὰρ ὠ 'γών.

Οὐκ ἐξῆν μὲν αὐτῷ λέγειν, τῶν συναλοιφῆς κανόνων ἄπειρον ὄντα με ὑπηρχέναι. Τὴν γὰρ ἀπολογίαν τὴν ἐμὴν ὑπὲρ Εὐριπίδου πρὸ ὀφθαλμῶν μὲν εἶχεν, ὁρᾶν τ' ἐδυνάτο τὸ ὠ 'υτὸς ἀντὶ ὁ αὐτὸς ἐν αὐτῇ ὑπ' ἐμοῦ δεδηλωμένον. Διπλάσιον τὸν τρόπον τοῦτό γ' ἐμοὶ γραπτέον ἐδόκει, πρῶτον μὲν διὰ ἐπενθέσεως τοῦ υ μετὰ τὸ ο κατὰ τὸ εἰωθὸς τοῖς Ἴωσι, οἵτινες τῷ ο ἐπιβάλλουσι τὸ υ, οἷον οὔνομα ἀντὶ ὄνομα, οὖρος ἀντὶ ὄρος, καὶ ἄλλα. Οὕτος δὲ καὶ ἐν τῇ τοῦ ο τῆς Ἰλιάδος ὑποθέσει, ἐπιβάλλεται υ μετὰ ο, Οὐ, χρονίδης κεχόλωτο Ποσειδάωνι, καὶ Ἥρῃ, καθάπερ Ε'. Στέφ. δηλοῖ ἐν Θησαυρῷ. Δεύτερον δὲ διὰ συναλοιφῆς. Προτέρῳ μὲν τῷ τρόπῳ γραπτέον οὐ 'γών, δευτέρῳ δὲ ὠ 'γών. Διόπερ ὁ Βαρνέσιος ὁμοίως ἀμφότερον ἐξήνεγκεν ἐν φοινισ. στιχ. 591. ταῦτα γεγραφώς, *si quis adhuc dubitat*, οὐ 'γών, *vel* ὠ 'γὼν *is legat*. Πρὸς τούτοις δῆλον ὅτι οὐ συναλοιφή ἐστι αο. λέγεται γὰρ μείζονας, μείζοας, μείζους.

Στιχ. 887. Φησὶ, στοχασάμενον ἐμὲ δίχα μύθους λεκτέον, παρὰ μέτρον πεποιηκέναι.

Ψεύδεται, Εὐριπίδην γὰρ ἴσως γεγραφέναι δίχα μύθους, ἐγὼ μὲν ἐστόχασμαι, οὐ μὴν δ' ἔλεξα, τὴν λέξιν ταύτην ἐντεθέναι δεῖν ἐν τῇ Εὐριπίδου βίβλῳ, παρὰ μέτρον. Λέξαντος οὖν ἐμοῦ, *ita fortasse scripsisse Poetam*, διανοεῖσθαι χρὴ, τὸν στίχον ἐκεῖνον μὲν τρόπον γεγραφέναι τὸν Τραγικὸν, ὅντινα αὕτη λέξις ἂν πάσχοι, τουτέστιν οὕτω, Δίχα μύθους πατέρα σὸν ἐκπλαγούμενος, καὶ γὰρ οὕτως ὁ στίχος ἂν ἔχοι καλῶς, ἐπειδήπερ τὸ δίχα μακροκατάληκτον εἴη διὰ τὸ μ ἐκτατικὸν τῆς λέξεως μύθους. Τὸ γὰρ φωνῆεν πρὸ τοῦ μόνου ἢ λ, ἢ μ, ἢ ν, ἢ ρ ἐν αὐτῇ τῇ λέξει, καὶ ἐν τῇ ἑπομένῃ ἀδιάφορος γίνεται, οἷον τὸ τοῦ Ὁμήρου, ἑλώρια, καὶ παραπλήσια.

Ἐν Φοιν. στιχ. 419. Φησὶν, ὅτι ἐγὼ τὴν διαφορὰν τοῦ ἦ *sane*, καὶ τοῦ ᾗ *quemadmodum*, οὐχ ἑώρακα.

Κἀνταῦθα ψευδολογεῖ, ἀποσημείωσίν τ' ἐμὴν ἠγνόηκεν. Ἐσημείωσα γὰρ ἐγὼ, τὸν Κάντηρον, μὴ προσηκόντως ἀναγινώσ-

κειν

Ver. 858. Ait, οὑ 'γών me ſcripſiſſe ignarum regulæ contractionis, cum ſcribendum ſit ὡ 'γών.

Non erat, cur ipſe diceret, me ignoraviſſe contractionis regulas. Nam præ oculis Apologiam meam pro Euripide habebat, videreque poterat ὡ ὐτὸς pro ὁ αὐτὸς in ea a me fuiſſe explicatum. Duplici modo hoc mihi ſcribendum videbatur, primum quidem per epenthesin τοῦ υ poſt ο, ut aſſolent Jones, qui τῷ ο addunt υ, ut οὔνομα pro ὄνομα, οὖρος pro ὄρος, & ſimilia. Sic etiam in argumento τοῦ ο Iliadis additur υ poſt ο, οὐ χρονίδης κέχολωτο Ποσειδάωνι, ἢ Ἥρῃ, ſicut oſtendit H. Stephanus in Theſauro. Deinde per ſynalœphen. Altero modo ſcribendum eſt οὑ 'γων, altero vero ὡ 'γών. Quare Barneſius perinde utrunque medium attulit in Phœn. ver. 591. ita ſcribens, *ſi quis adhuc dubitat*, οὑ 'γών, vel ὡ 'γών is legat. Porro patet ου ſynalœphen eſſe litterarum οε. Dicitur enim μείζονας, μείζοας, μείζους.

Ver. 887. Ait, me conjeciſſe legendum δίχα μύθους contra metrum.

Falſo ait. Conjeci equidem ego δίχα μύθους fortaſſe ſcripſiſſe Euripidem, haud vero dixi lectionem in textum Euripidis recipiendam eſſe, contra metrum. Cum ego igitur dixerim, *fortaſſe ita ſcripſiſſe Poetam*, intelligi debet, verſum ea ratione ſcriptum a Tragico fuiſſe, quam ipſa lectio pati poſſit, hoc eſt, hoc modo, Δίχα μύθους πατέρα σὸν ἐκπλαγούμενος, & ſic quidem verſus belle ſe haberet, quandoquidem ultima in δίχα eſſet longa propter litteram μ dictionis μύθους, quæ littera vim *ectaticam* habet. Vocalis enim ante ſolam liquidam vel λ, vel μ, vel ν, vel ρ, in eadem dictione, & in altera fit indifferens, ut illud Homeri, ἐλώρια, & alia his ſimilia.

In Phœn. ver. 419. Ait, me non noviſſe diſcrimen inter ἦ *ſane*, & ᾗ *quemadmodum*.

Falſo ait & hoc loco, meamque annotationem non intellexit. Nam ego annotavi, Canterum haud ap-

κειν ἢ φυγάς, κάλλιόν τ' εἶναι λέγειν ἢ φυγάς, τουτέστιν, ὡς φυγάς. Διὰ τοῦτο μὲν ἐγὼ τοῦτον τὸν τρόπον ἐξηγησάμην, ὅτινα προσήκει, τουτέστιν, ἀντὶ οἷον, ὥσπερ. Ὁ δὲ Κάντηρος ὑπέλαβε λεκτέον ἤ, τουτέστιν *vel*, οὐκ ἦ *ſane*, ὅπερ σαφῶς ἀπροσδιόνυσον ὑπάρχει. Τίνος ἕνεκα τοίνυν ὑπῆλθε τῷ Ἀντιδίκῳ περὶ τοῦ ἦ *ſane* μεμνῆσθαι, περὶ ὅτου δή, μήτ' ὄναρ, ἔγωγ' εἴρηκα λόγον;

Ἐν Ἱππολ. στιχ. 88. μέμφεταί με, ὅτι τὴν τοῦ Σχολιαστοῦ ἐτυμολογίαν τοῦ ἄναξ δοκιμάζω, παρὰ τὸ ἄνω ἀξίαν ἔχων. Αὐτὸς δὲ ὁ κατήγορος παρὰ τὸ ἀνάκω, ἀνάκη, ἀνάγκη, ὁ ἀναγκάζων εἶναι νομίζει.

Ἀλλὰ γὰρ τί τοῦτο; καὶ μὴν ἐκ ποικίλων ἐτυμολογιῶν, αἵτινες τῷ ὀνόματι τούτῳ δίδονται, τοιαύτη μὲν τοῦ Σχολιαστοῦ μᾶλλον τούτῳ τῷ Εὐριπίδου τόπῳ προσήκουσα δοκεῖ. Ὁ γὰρ Εὐριπίδου στίχος οὕτως ἔχει. Ἄναξ, Θεοὺς γὰρ δεσπότας καλεῖν χρεών, *Rex, Domini enim tamquam Dii haberi debent*, οἵτινες ἄνω τὴν ἀξίαν ἔχουσιν. Οὐ μὴν ἀλλὰ πρὸς τούτοις ἄλλας ὁρῶμεν ἐτυμολογίας. Ἄναξ ἐν τῷ ἐτυμολογικῷ λέγεται, ὡς ἄνω τάξιν ἔχων, ἢ ὁ ἄνω ἀΐσσων. Ὑπάρχουσι καὶ ἄλλοι νομίζοντες, τὴν σημείωσιν τοῦ ἄκος ἐνεῖναι τῷ ὀνόματι ἄναξ. Ἄλλοι δὲ τυγχάνουσιν ὑπολαβόντες, παρὰ τὸ ἀνακοί, ἢ ἄνακες (τῶν Διοσκούρων ἐπίθετον) ἢ παρὰ τὸ ἀνακῶς ἐπίρρημα γενέσθαι. Λέγονται δὲ οἱ Διόσκουροι παρὰ Πλουτάρχῳ ἐν Θησεῖ, ἄντε δι' ἀνοχάς, ἄντε παρὰ τὸ ἀνακῶς ἀττικῶς, δηλοῦν ἄνω, ὥσπερ ἐξηγεῖται καὶ Σουίδας. Ἐκ τούτων δῆλον, ὅτι πρέπει τὴν τοῦ Σχολιαστοῦ ἐτυμολογίαν περὶ πλείονος ποιεῖσθαι.

Στιχ. 587. Ἐγκαλοῦμαι τοῦθ', ὅτι τοῦ Βαρνεσίου τὸ γεγωνεῖν *intelligere* μεταπέφρακα.

Μεταπέφρακα γεγωνεῖν ὅτι *intelligere ſeu cognoſcere vocem*, ὥσπερ μὲν ἦ μεταφραστέον, τουτέστιν, οὐκ ἔχω σαφὲς διακρίνειν τίς ἡ φωνή, ὡς ἐν σχολίοις λέγεται. Γίνεται γεγωνεῖν παρὰ τὸ γέγωνα, παρακείμενον μέσον, ὅστις εἰς ἐνεστῶτα μεταβαίνει. Διόπερ λέγεται γεγώνω, καὶ γεγωνεῖν, τουτέστιν, ὡς ἐξηγεῖται Εὐστάθιος, οὕτω βοᾶν, ὥστ' ἂν ἡ φωνὴ δύνασθαι ἐξακούεσθαι. Εὐριπίδης δὲ (φησὶν Ε. Στέφανος τοῦτον τὸν τόπον ἐπαγόμενος) τῷ γεγωνεῖν ἐχρήσατο, νῷ μὲν τοιούτῳ, ὅπερ ἐ-

γώ

posite legere ἢ φυγάς; pulchrius vero esse dicere ἦ φυγὰς, hoc est, *veluti fugitivus*. Quapropter ego ea ratione explicui, quæ apposita est, h. e. pro οἷον, ὥσπερ, *ut*, *veluti*. Canterus autem putavit legendum ἢ h. e. *vel*, non ἦ sane, quod plane ad rem minime pertinet. Quid igitur in mentem venit Adversario mentionem facere τοῦ ἦ *sane*, de quo jam ego neque ὄναρ verba feci?

In Hippol. ver. 88. Me carpit, quia probo Scholiastæ etymologiam vocis ἄναξ, ab ἄνω τὴν ἀξίαν ἔχων. Ipse vero Adversarius, eam esse putat ab ἀνάσσω, ἀνάκη, ἀνάγκη, ὁ ἀναγκάζων.

At quid istuc est rei? Inter varias quidem etymologias, quæ huic nomini tribuuntur, hæc profecto Scholiastæ magis videtur ad hunc Euripidis locum accomodata. Versus enim Euripidis est hujusmodi, Ἄναξ θεοὺς γὰρ δεσπότας καλεῖν χρεών, *Rex; Domini enim tanquam Dii haberi debent*, qui ἄνω τὴν ἀξίαν ἔχουσι. At alias porro etymologias videamus. Ἄναξ in Etymologico dicitur, ὡς ἄνω τάξιν ἔχων, vel ὁ ἄνω ἀΐσσων. Alii vero sunt, qui existimant, significationem τοῦ ἄκος huic nomini ἄναξ inesse. Alii autem putant, ab ἀνακοὶ, vel ἄνακες (quod est epitheton Dioscuris tributum) vel ab ἀνακῶς adverbio fieri. Dicuntur autem Dioscuri apud Plutarchum in Thes., sive δι' ἀνοχὰς, sive παρὰ τὸ ἀνακὰς, quod Attice significat ἄνω, ut explicat etiam Suidas. Hinc patet, etymologiam Scholiastæ esse aliis præferendam.

Ver. 587. Propterea redarguor, quod γεγωνεῖν cum Barnesio *intelligere* reddidi.

Reddidi γεγωνεῖν ὄπα *intelligere*, *seu cognoscere vocem*, ut erat jam reddendum, h. e. οὐκ ἔχω σαφὲς διακρίνειν τίς ἡ φωνὴ, sicut in Scholiis dicitur. Fit γεγωνεῖν a γέγωνα præterito medio, quod in præsens transit. Quapropter dicitur γεγώνω, & γεγωνεῖν, h. e. ut explicat Eustathius, οὕτως βοᾷν, ὥστ' ἂν ἡ φωνὴ δύνασθαι ἐξακούεσθαι. Euripides vero (ait H. Stephanus hunc locum citans)

 usus

γὼ διηγησάμην. Οὕτω δ' Εὐελπίδου στίχος ἔχει. Ἰαχὰν μὲν κλύω -- Σαφὲς δ' οὐκ ἔχω -- Γεγωνεῖν ὄπα, τουτέστι, *sonum quidem audio, sed nequeo intelligere clare, seu cognoscere vocem.*

Στχ. 639. Μέμφεταί με, ὅτι γέγραφα χρηστὸν γυναῖκα.

Μέμφεται μὲν τὸν Σχολιαστὴν, οὗτινος ἔγωγε ῥήματα ἐνταῦθ' ἀπογέγραφα. Ταῦτα δ' ἐστίν. βέλτιον δὲ μήτε πενθερὸν, μήτε γυναῖκα χρηστὸν ἔχειν. Γέγραφε χρηστὸν ὁ Σχολιαστὴς, ὀρθῶς τε γέγραφε καὶ καλῶς. Τὸ γὰρ ὄνομα ἐπίθετον καὶ ὑπαρκτικὸν ἄλλου γένους ἐστὶν ὅτε συνάπτονται, ὥσπερ ὁ Βίγηρος ἀποδείκνυται ἐκ Συνεσίου λέγοντος, μειράκια ἀτυχεῖς, ἀντὶ ἀτυχῆ. Πρὸς δὲ τούτοις δῆλον, ὅτι ἀττικῶς καὶ αἰολικῶς, ἀντὶ θηλυκῶν ἀρσενικὰ ὀνόματα λαμβάνεται, οἷον παρ' Ὁμήρῳ, κλυτὸς Ἱπποδάμεια *inclytus Hippodamia* ἀντὶ *inclyta*, καὶ παρὰ Πλάτωνι (ὡς Πλούταρχος περὶ τῶν διαλέκτων, ἢ, καθάπερ ἄλλοι βούλονται μᾶλλον, Εὐστάθιος διδάσκει) λέγεται ἡ σοφὸς γυνὴ, καὶ ἡ δίκαιος *doctus mulier & justus* ἀντὶ *docta & justa*. Διὰ ταῦτα μὲν οὖν ὁ κατήγορος ἀδίκως πάνυ καλλίστην ταύτην διάλεκτον ἐμέμψατο.

Στχ. 884. Φησί με καινὸν ὄνομα τετυπωκέναι, δυσεπάλλακτον, περὶ ὅτου μηδεὶς ἂν λέξοι, πλὴν ἐμοῦ, τί σημαίνει.

Οὔκουν ἀληθεύει τοῦτο. Τὸ γὰρ ὄνομα οὐκ ἐγὼ τετύπωκα, Σχολιαστοῦ μέν ἐστιν. Γίνεται δὲ παρὰ τὸ δὺς, καὶ ἐπαλλάττω, ἐκεῖνον τὸν τρόπον, ὅντινα γίνεται τὸ ἀνεπάλλακτον παρ' Ἀριστοτέλει λέγοντι ζῶα ἀνεπάλλακτα. Δυσεπάλλακτον κακὸν ἐνταῦθα μὲν οὖν σημαίνει *quod haud facile variari h. e. tolli, aut mutari potest.* Τῷ ἐπαλλάττω κέχρηται Γρήγ. νῦ σχεδὸν αὐτοπάτῳ, τουτέστιν, καὶ τὰς εὐθείας ταῖς γωνίαις ἐπαλλάττουσα *rectas lineas angulis varians.*

Τπχ. 923. Φησί μ' ἀναλεληφέναι τὸ σφάλμα τῆς τοῦ Βαρνεσίου ἐκδόσεως, ἀναγκάσαιν, καὶ τοῖς ἀπαρεμφάτοις προστεθεικέναι τὸ ν παραγωγικὸν, ὃ παρὰ τὸ εἰωθὸς ὑπάρχει.

Ὅπερ μὲν ἐγὼ περὶ τούτου ἐσκόπησα, οὐχ ἑώρακεν ὁ κατήγορος. Ἐπειδήπερ ἐν ταῖς ἄλλαις ἐκδόσεσι, καθάπερ ἐν τῇ τοῦ Ἄλδου, καὶ τῇ ἐν Ἀντουερπίᾳ παρὰ τῷ Πλαντίνῳ ἐκδεδομένῃ,

ἐπα-

usus est verbo γεγωνεῖν ea intelligendi ratione, qua ego explicui. Versus autem Euripidis sic se habet: ἰαχὰν μὲν κλύω -- Σαφὲς δ' οὐκ ἔχω -- Γεγωνεῖν ὄπα, h. e. *sonum quidem audio; sed nequeo intelligere clare, seu cognoscere vocem*.

Ver. 639. Me sugillat, quia scripsi χρηστὸν γυναῖκα.

Sugillat quidem Scholiasten, cujus ego verba hoc loco exscripsi. Hujusmodi vero sunt: βέλτιον δὲ μήτε πενθερὸν, μήτε γυναῖκα χρηστὸν ἔχειν. Scripsit χρηστὸν Scholiastes, recteque scripsit, atque eleganter. Nomen enim adjectivum & substantivum alterius generis aliquando copulantur, ut ostendit Vigerus ex Synesio, qui dicit, μειράκια ἀτυχεῖς pro ἀτυχῆ. Praeterea res comperta est, Attice, & Æolice fœminina pro masculinis usurpari, ut apud Homerum, κλυτὸς Ἱπποδάμεια *inclytus Hippodamia* pro *inclyta*; & apud Platonem (ut de dialectis loquens docet Plutarchus, vel, ut alii malunt, Eustathius) dicitur, ἡ σοφὸς γυνὴ, καὶ ἡ δίκαιος *doctus mulier & justus* pro *docta & justa*. Quæ cum ita sint, præter fas omne, hanc pulcherrimam dialectum carpsit.

Ver. 884. Ait, me novum cudisse nomen, δυσεπάλλακτον, de quo nemo diceret præter me, quid significat.

Neque in his vera dicit. Nomen ego non cudi, Scholiastæ est. Fit autem a δὺς, & ἐπαλλάττω, eo modo, quo fit τὸ ἀνεπάλλακτον apud Aristotelem, qui dicit ζῶα ἀνεπάλλακτα. Hoc igitur loco δυσεπάλλακτον κακὸν significat *quod haud facile variari h. e. tolli, aut mutari potest*. Usus est hoc verbo Greg. eadem prope significatione, h. e. καὶ τὰς εὐθείας ταῖς γωνίαις ἐπαλλάττουσα *rectas lineas angulis varians*.

Ver. 923. Ait me recoxisse vitium editionis Barnesianæ, ἀναγκάσαιν & addidisse ν paragogicum infinitivis, quod est inusitatum.

Quid de hac re ego existimaverim, Adversarius non vidit. Quoniam in aliis editionibus, ut in Aldina, & in

ἐπανορθωμένη δὲ ὑπὸ τοῦ Καντήρου, καὶ ἐν ταῖς ἄλλαις ὁμοίως ἀναγκάζειν ἐγράφετο παρὰ μέτρον, παρὰ δὲ τῷ Σχολιαστῇ ἀναγκάσαι ὀρθῶς ἐγράφετο, ταύτην μὲν τοῦ Σχολιαστοῦ λέξιν κρείττονα τῶν ἄλλων ὑπέλαβον. Ἵνα δ' ἂν ἡ χασμωδία, τουτέστιν, ἡ τῶν φωνηέντων ἐπαλληλία ἐκφύγοιτο, ἥντινα μὲν οἱ Ἕλληνες σφόδρα δυσχεραίνουσιν, εἴρηκα (καὶ περὶ τούτου μὲν ἀμφισβητῶν, τουτέστιν, ὡς οἴομαι) ν παραγωγικὸν ἴσως προστίθεσθαι. Καὶ τοῦτο μὲν οἶδα καλῶς, ὅτι τὸ ν μετὰ τὸ σι καὶ μετὰ τὸ ε ἐν τοῖς ῥήμασι προστίθεται· οὐ μὴν ἀλλά γε κἀκεῖνο καὶ οἶδα, ὅτι οἱ Ἀττικοὶ καὶ μετὰ τὸ ει ν προστιθέασι. Τὰ δ' ἄλλα ἐνόμιζον, μετὰ τοῦ Σχολιαστοῦ ἀναγκάσαι λεκτέον. Σφάλλεται δ' ὁ κατήγορος ὑπολαβών, ἀντὶ ἀναγκάσαι γραπτέον ἀναγκάσειν. Σόλοικον γάρ ἐστι λέγειν, δυνατός ἐστ' ἀναγκάσειν *potest facturus*. Ἀλλὰ μὴν καλῶς λέγεται, δυνατός ἐστ' ἀναγκάσαι. Ὁ Ἀόριστος γὰρ δηλοῖ καὶ τὸν ἐνεστῶτα. Διότι ἐνταῦθα ὁ Σχολιαστὴς ἐξηγεῖται δυνάμενος διδάξαι, οὐ μὴν διδάξειν. Παραπλησίως δέ, δυνατός ἐστ' ἀναγκάσειν ἄτοπόν τε καὶ ἀπροσδιόνυσον ὑπάρχει. Οἱ τοῦ Ποιητοῦ στίχοι οὕτως ἔχουσι.

Δεινὸν σοφιστὴν εἶπας, ὅστις καὶ φρονεῖν
Τοὺς μὴ φρονοῦντας δυνατός ἐστ' ἀναγκάσαι.

Στιχ. 925. Αἰτίαν μοι ἐνταῦθα ἐπάγει, ὅτι γέγραφα διὰ τῶν κακῶν, ἀντὶ διὰ τὰ κακά, μεταφράζων *propter calamitates*.

Τοῦτο μὲν σόλοικον εἶναι, μηδαμῶς ὄν, ᾠήθη ὁ κατήγορος. Διὰ μετὰ τῆς αἰτιατικῆς σημαίνει δὴ *propter*, *ob*, ἀλλὰ γὰρ καὶ αὐτῷ τῷ νῷ γενικῇ συντάσσεται. Ἀριστοφάνους Σχολιαστὴς δηλοῖ τοῦτο σαφῶς, Διά, φησιν, ὅταν δηλοῖ αἰτίαν, αἰτιατικῇ μὲν ὡς ἐπὶ πολὺ συντάσσεται. Ἀλλὰ καὶ πρὸς γενικὴν εὕρηται. Διὰ τοῦθ' ὁ Κόρινθος περὶ διαλέκτων λόγους ποιῶν, ταῦτα, ὁ θυμὸς ἔστω σοι κατὰ μόνου τοῦ ὄφεως,

δι' ὃν

in Antuerpiensi apud Plantinum, quam recensuit & emendavit Canterus, & in aliis perinde scribebatur ἀναγκάζειν contra metrum, & apud Scholiasten recte ἀναγκάσαι erat, hanc Scholiastæ lectionem præferendam aliis putavi. Ut autem hiatus, h. e. vocalium collisio effugeretur, a qua Græci Poetæ vehementer abhorrere solent, dixi (& de re quidem dubitans, h. e. *ut puto*) ν paragogicum fortasse addi. Atque sane istuc noveram, literam ν post σ, & post ι in verbis addi. Verum enimvero & illud me non latebat, Atticos etiam post ει τὸ ν addere. Ceterum in ea sententia fuit, ut putarem cum Scholiaste legendum esse ἀναγκάσαι. Fallitur autem accusator existimans, pro ἀναγκάσαι scribendum ἀναγκάσειν. Incongruum enim est orationi dicere δυνατός ἐστ' ἀναγκάσειν, *potest facturus*. At quidam belle dicitur δυνατός ἐστ' ἀναγκάσαι *potis est, seu potest facere*. Aoristus enim significat etiam tempus præsens. Quapropter Scholiastes hoc loco explicat δυνάμενος διδάξαι, haud vero διδάξειν. Perinde autem δυνατός ἐστ' ἀναγκάσειν absurdum est, & minime ad orationem accomodatum. Poetæ versus ita se habent

Δεινὸν σοφιστὴν εἶπας, ὅστις καὶ φρονεῖν
Τοὺς μὴ φρονοῦντας δυνατός ἐστ' ἀναγκάσαι.

Peritum sapientiæ Doctorem dixisti, quicunque recte sapere
Non sapientes potis est, seu potest, cogere.

Ver. 925. Id mihi vitio vertit, quod scripserim διὰ τῆς κακῶν, pro διὰ τὰ κακά, reddens *propter calamitates*.

Putavit Adversarius hoc σόλοικον esse, quod sane non est. Διὰ cum accusandi casu significat quidem *propter, ob*; sed eadem significandi ratione, & cum gignendi casu construitur. Scholiastes Aristophanis rem hanc luculenter patefacit, Διὰ, ait, ὅταν δηλοῖ αἰτίαν, αἰτιατικῇ μὲν ὡς ἐπὶ πολὺ συντάσσεται· ἀλλὰ καὶ πρὸς γενικὴν εὕρηται. Quapropter Corinthus, de dialectis verba faciens, hæc verba, ὁ θυμὸς ἔστω σοι κατὰ μόνου τοῦ ὄφεως,

δι᾽ ὃν ἐξέπεσες, οὕτως ἐξηγεῖται, δι᾽ ὅτινος ἐξέπεσες *propter quem cecidisti*. τὸ δι᾽ ὅτινος αἰτίαν δηλοῖ.

Ἐν Ἀλκεσ. στίχ. 261. Οὕτως ἐλέγχει με, ὄνομα καινὸν ἔπλασε, τουτέστι προώριος ἀντὶ ἄωρος, ἢ πρόωρος.

Ἐλέγχει με καὶ περὶ τούτου ἀδίκως. Ταυτὸ γάρ ἐστι προώριος, ὅπερ πρόωρος. Παρὰ Νόννῳ λέγεται προώριος τιμή. Παραπλησίως τὸ ἀώριος ταυτὸ μέν ἐστιν, ὅπερ ἄωρος. Διόπερ λέγεται ἀώριος τύμβος. Ὁμοίως πανώριος καθ᾽ Ὅμηρον. Σουίδας δ᾽ ἔτι παιώριος ἀντὶ πρὸ τῆς ὥρας λαμβάνει. Ἡσύχιος μινυώριος ἀντὶ ὀλιγοχρόνιος λέγει. τούτων ἕνεκ᾽ ἐν Ἑ Στέφανος προώριος ὁμοίως, καὶ πρόωρος ἐξηγεῖται *legitimum & justum tempus praeveniens, praematurus, praecox*. Προώριος ἔγραψε καὶ Εὐριπίδου Σχολιαστής. Δῆλον ἐκ τούτων, ὅτι ψευδῶς εἴρηκεν ὁ κατήγορος, καινὸν ὄνομά με πεπλακέναι.

Στιχ. 546. Οὕτω φησίν, ὄνομ᾽ ἄλλο καινὸν τυποῖ, ἀφεστικὸς ἀντὶ ἀφέστιος, ἄδηλον, πότερον ἀντὶ ἀφέστιος, ἢ ἀντὶ ἀφεστηκὸς λαμβάνεται, καὶ μὲν ἐν τῇ αἰτιατικῇ τοῦ πληθυντικοῦ γράφει ἀφεστηκοῦς μετὰ τῆς περισπωμένης.

Οὐχ ἑωρακέναι τὸν κατήγορον θαυμάζω, ἀφεστηκῶς τῶν δωμάτων ὑπ᾽ ἐμοῦ γραφθῆναι, καί γ᾽ ἐκ τοῦ τυπογράφου σφάλματος ἐκδοθῆναι ἀφεστηκοῦς. Ἡ μὲν γὰρ περισπωμένη δύναιτ᾽ ἂν αὐτῷ δεικνύναι αὐτάρκως, νοητέον ἀφεστηκῶς, τοῦδ᾽ ἑπομένου, τῶν δωμάτων. Οὕτω γὰρ καὶ ὁ Σχολιαστὴς πρὸς τὸν στίχον Μηδ. 624. ἐξώπιος ἔλεξεν, ἀντὶ ἀφεστηκῶς αὐτῆς.

Στιχ. 604. Ταῦτα κατά μου σημειοῖ, τὴν πρώτην συλλαβὴν ἐν τῷ θάρσος συνεσταλμένως εἴληφεν, οὕτω μὲν ἴσως λογιζόμενος, καθάπερ τὸ α ἐν τῷ θράσος συνεσταλμένως λαμβάνεται, ὁμοίως καὶ ἐν θάρσος.

Ψεῦδος καὶ τοῦτο λέγει. τἀληθῆ μὲν ἐγὼ λέξω. Ἐπειδήπερ ἐκδόσεις αἱ πάλαι, τουτέστιν, ἡ τοῦ Ἄλδου, καὶ δύω ἐκδεδομέναι, ἡ μὲν ἐν Βασιλείᾳ παρὰ τῷ Ὀπωρινῷ, ἡ δ᾽ ἐν Ἀντουερπίᾳ παρὰ τῷ Πλαντίνῳ, ἅτινα ἐπανώρθωκεν ὁ Κάντηρος, θάρσος ἔχουσιν ἐνταῦθα πᾶσαι, λέξιν τοιαύτην φυλάττειν οὐκ ἄτοπον νενόμικα, κἂν ὁ Βαρνέσιος μεταλλάττῃ γράφων διὰ

μέ-

δι' ὂν ἐξέπεσες, ita explicat, δι' ὅτινος ἐξέπεσες *propter quem cecidisti*. Τὸ δι' ὅτινος caussam significat.

In Alcest. ver. 261. Ita me redarguit, novum confinxit nomen, hoc est, προώρειος pro ἄωρος, vel πρόωρος.

Injuria hac etiam in re me redarguit. Idem namque est προώρειος, ac πρόωρος. Apud Nonnum dicitur προώρειος τιμή. Perinde ἀώρειος idem est, ac ἄωρος. Hinc dicitur ἀώρειος τύμβος. Similiter πανώρειος apud Homerum. Suidas porro πανώρειος usurpat pro πρὸ τῆς ὥρας. Hesychius μινυώρειος pro ὀλιγοχρόνιος dicit. Quam ob rem H. Stephanus perinde προώρειος, ac πρόωρος explicat *legitimum*, *&* *justum tempus præveniens*, *prematurus*, *præcox*. Προώρειος scripsit etiam Euripidis Scholiastes. Ex his patet, falso dixisse Adversarium, me novum nomen confinxisse.

Ver. 549. Sic dicit, nomen aliud novum cudit, ἀφεστικὸς pro ἀφέστιος, ignotum, num pro ἀφέστιος, vel pro ἀφεστικὸς sumatur, & quidem in accusativo plurali scribit ἐφεστικῦς cum circumflexo.

Miror, non vidisse Adversarium, ἀφεστηκῶς τῶ δομάτων scriptum a me fuisse; atque ex mendo Typographi editum fuisse ἀφεστικῦς. At enim accentus circumflexus satis ostendere poterat, intelligendum esse ἀφεστηκῶς, cum sequatur τῶ δομάτων. Sic namque & Scholiastes ad versum Med. 624. ἐξώπιος dixit pro ἀφεστηκὼς αὐτῆς.

Ver. 604. Hæc adversus me annotat: primam syllabam in voce θάρσος corripit, ita fortasse ratiocinans, quemadmodum τὸ α in θράσος corripitur, perinde & in θάρσος.

Falso & istuc dicit. Dicam ego quod res est. Quoniam veteres editiones, hoc est Aldina, & duæ editæ, altera Basileæ apud Oporinum, altera vero Antuerpiæ apud Plantinum, quam Canterus emendavit, θάρσος habent omnes hoc loco, non a re alienum putavi, hanc retinere lectionem, etiamsi Barnesius mutave-

μέτρον, θράσος. Οὐ μὴν ἀλλά γε, τὸ α συνεσταλμένως λαβεῖν δυνάμεθα καὶ ἐν τῷ θάρσος. Κανών ἐστι τοιοῦτος παρὰ τῷ Γυιλλωνίῳ, *liquidam ante mutam aliquando liquescere, & præcedentem vocalem communem reddere*. Παραδείγματα τοιαῦτα πλεῖστα παρὰ τῷ Γυιλλωνίῳ ἔξεστιν ὁρᾶν.

Στιχ. 851. Ἠγνοηκέναι με φησὶν, ὅτι δεῖ, ὁδὸν νοεῖν ἐν τῇ λέξει, εἶμι τὴν κάτω, ἀναπεπληρωκότα οἰκίαν.

Ψεύδεται. Κάλλιον γάρ ἐστιν ἀναπληροῦν οἰκίαν, ἢ ὁδόν. Λόγον ποιεῖται ἐνταῦθα ὁ Ποιητὴς περὶ οἰκίας τοῦ Πλούτωνος, οὕτως, εἶμι τὴν οἰκίαν ὑποχθονίαν ἥτις ἐστὶν οἰκία τῆς Περσεφόνης καὶ Πλούτωνος. Παραπλησίως δὲ καὶ ὁ Σχολιαστὴς λέγει εἶμι εἰς δόμους. Καλῶς μὲν οὖν ἔχει, εἶμι τὴν κάτω οἰκίαν. Τὰ γὰρ λοιπὰ διὰ ἐπεξηγήσεως λέγεται.

Στιχ. 1021. Φησί, μ' ἀποδοκιμάζειν τὴν τοῦ Σκαλιγέρου ἀρίστην ἐπανόρθωσιν, ὑπολαβόντα παρὰ μέτρον εἶναι.

Οὐκ ἐγὼ τὴν τοῦ Σκαλιγέρου ἐπανόρθωσιν ἀποδεδοκίμακα. Μηδεμία γάρ ἐστιν τοῦ Σκαλιγέρου ἐπανόρθωσις, ὅτι ταὐτὸ μέν ἐστι θρηνίκας, καθάπερ λέγεται παρὰ Εὐριπίδῃ, ὅπερ θρηνίσασας, καθάπερ λέγεται παρὰ τῷ Σκαλιγέρῳ. Μακρὰ γάρ ἐστιν ἑκατέρωθεν ἡ τελευταία συλλαβὴ αἰ. Ἐγὼ δ' ἐξενήνοχα τὴν ἐπανόρθωσιν τοῦ βαρνεσίου νομίζοντος Θρηνίκας λεκτέον, ἀντὶ θρηνίκας, ἢ θρηνίσασας, ὅπως μὴ τις λάβοι τὸ ηι, οἷον δίφθογγον καταχρηστικήν. Ἴωνες γὰρ οἱ πάλαι ἔγραφον ὠίκισαι, Ῥαψωιδία, ἀντὶ ᾤκισαι, Ῥαψῳδία, καὶ τὰ παραπλήσια. Ὁμολογῶ δ', ἐὰν διαίρεσις τῷ ι προστιθῆται, θρηίκας, καὶ θρηίσασας ὁμοίως καλῶς λέγεσθαι.

Στιχ. 357. Λοιδορεῖταί μοι γράψαντι, τῷ βωμῷ καταφεύγοντες, ὁ δὲ λοιδορούμενος νομίζει γραπτέον, προσκαταφεύγοντες.

Τοὐναντίον παντελῶς. Παράδειγμα γὰρ τοῦ καταφεύγω εὕρηται, τοῦ δὲ προσκαταφεύγω ἴσως μηδαμῆ. Καίπερ ἂν εὕρηται, ἀναμφισβητήτως καὶ καταφεύγω ἔξεστι λέγειν, αὐτῷ τῷ νῷ, ὅπερ ἐγὼ γέγραφα. Παρὰ γὰρ Πλουτάρχῳ ἐν Ἑλλ. ἔχομεν, τῷ Ἡρακλεῖ κατέφυγε. Παρὰ δὲ Ἡσυχίῳ, καταφυγόντα.

Στιχ. 615. Φησί με ἀφαίρω ἀντὶ ἀφαιρῶ, γεγραφέναι.

Ἀπο-

taverit ſcribens metri cauſſa, θρᾶσος. Atqui τὸ α poteſt etiam corripi in voce θάρσος. Regula eſt hujuſmodi apud Guillonium, *liquidam ante mutam aliquando liqueſcere, & præcedentem vocalem communem reddere*. Exempla id genus plurima apud Guillonium videre eſt.

Ver. 851. Me ignoraſſe dicit, intelligi oportere ὁδὸν in hac dicendi formula, εἶμι τὴν κάτω, quia vocem οἰκίαν ſupplevi.

Falſo ait. Pulchrius enim eſt, ſupplere οἰκίαν, quam ὁδόν. Verba facit hoc loco Poeta de domo Plutonis, ſic, εἶμι τὴν οἰκίαν ὑποχθονίαν *ibo ad domum infernam*, quæ eſt domus Proſerpinæ, & Plutonis. Eodem autem modo dicit etiam Scholiaſtes εἶμι εἰς δόμους. Belle igitur ſe habet, *ibo in domum infernam*. Quæ enim ſequuntur per appoſitionem dicuntur.

Ver. 1021. Ait, me rejicere optimam Scaligeri emendationem exiſtimans, eam metro adverſari.

Scaligeri emendationem haud ego rejeci. Nulla eſt enim hoc loco Scaligeri emendatio, propterea quod idem eſt θρηίκας, ut dicitur apud Euripidem, ac θρηίσσας, ut dicitur apud Scaligerum. Longa enim eſt utroque loco ultima ſyllaba ας. Ego vero in medium attuli emendationem Barneſii exiſtimantis θρηκίους legendum pro θρηίκας, vel θρηίσσας, ne quis acciperet τὸ ηι, veluti diphthongum impropriam. Veteres enim Græci ſcribebant ὠίκισται, Ῥαψωιδία pro ᾤκισται, Ῥαψῳδία & alia his ſimilia. Fateor autem, ſi diæreſis τῷ ι apponatur, θρηίκας, & θρηίσσας perinde belle dici.

Ver. 352. Objurgat me, quod ſcripſerim, τῷ βωμῷ καταφεύγοντες; Objurgator autem putat, ſcribendum προσκαταφεύγοντες.

Contra omnino. Exemplum enim verbi καταφεύγω invenitur; minime autem fortaſſe verbi προσκαταφεύγω. Et ſi inveniatur, haud dubie etiam καταφεύγω eadem ſignificatione, qua ego ſcripſi, poteſt uſurpari. Habemus enim apud Plutarchum in Hell., τῷ Ἡράκλει κατέφυγε. Apud vero Heſychium, καταπεφυγότα.

Ver.

Ἀποκρύπτει τὸ ἀφαιρῶ γραφὲν ἀντὶ τοῦ τυπογράφου σφάλματος πρὸς στίχον 895. Ἰφιγ. ἐν Αὐλ. Ἀλλὰ μὴν φήσας ἐγὼ, τοῦτο τὸ ῥῆμα διπλασίως αἰτιατικῇ συντάσσεσθαι, περὶ μὲν τοῦ ἀφαιρῶ λόγον ἐποιησάμην σαφῶς, οὐδαμῶς δὲ περὶ τοῦ ἀφαίρω, ὅπερ οὐδέν ἐστι ῥῆμα.

Στιχ. 934. Ἐπιπλήττει μοι, ὅτι γαμοστόλει γραφὲν ἑώρακε, καὶ ἐγαμοστόλει λεκτέον φησίν.

Τίς μὲν οὐχ ὁρᾷ, ἐπισημαίνοντά μ' ἐνταῦθα τοιαῦτα, τὴν ἄνασσαν *intellige vel Junonem, quæ* γαμοστολεῖ *nuptæ curam habet; vel Dianam*, γεγραφέναι γαμοστολεῖ, μὴ δὲ γαμοστόλει, καὶ ἐγαμοστόλει νοητέον οὐδαμῶς; λέγεται γὰρ γαμοστολῶ *nuptias apparo, ſeu pronubæ officio fungor*. Διόπερ γαμόστολος νὺξ ὀνομάζεται Μουσαίῳ *pronuba nox*. Ὅταν μὲν οὖν ἐγὼ διηγησάμην *nuptæ curam habet*, γαμοστολεῖ κάλλιστα γέγραφα, καὶ τὸ γαμοστόλει, σφάλμα μέν ἐστι τοῦ τυπογράφου, τὸ δ' ἐγαμοστόλει σφάλμα τοῦ ἐπιπλήττοντος.

Ἐν Ἱκε. Στιχ. 1141. Φησί με λέγειν Ἀΐδα ἐν ὀνομαστικῇ ἀντὶ ἀΐδης.

Ψευδολογεῖ, μήτε τόπον κατεῖδεν. Ἐγὼ μὲν τὰ Εὐριπίδου ῥήματ' ἀπογέγραφα ταῦτα, ἤνυσαν τὸν ἀΐδαν. Ὑπέλαβε δὲ ὁ κατήγορος ἐπειδήπερ γέγραπται ἀΐδαν, πεποιηκέναι ἐμὲ τοὔνομα τοῦτο ἐκ τῆς ὀνομαστικῆς Ἀΐδα. Οὐχ ἑώρακε, τὸ ἀΐδαν ἐνταῦθα δωρικὸν εἶναι. Λέγεται γὰρ Ἀΐδης Δωρικῶς ἀΐδας, καὶ γενικὴ ἀΐδαο, αἰτιατικὴ δ' ἀΐδαν καὶ παρὰ τῷ Ἡσυχίῳ. Τοὔνομα τοῦτο ὑπὸ τοῦ χοροῦ λαμβάνεται. Καὶ μὴν Εὐριπίδης ἐν τοῖς χοροῖς Δωρικῇ διαλέκτῳ χρῆται.

Ἐν Ἰφιγ. ἐν Αὐλ. στιχ. 124. Ταῦτα κατά μου σημειοῖ. διελέγχει τὸν Σκαλίγερον. Ἀλλὰ μὴν ἐχρῆν δεικνύναι, τὸ ἀμπλάκειν Λέκτρα (ἀντὶ Λέκτρων) Ἑλληνικὸν εἶναι.

Οὐδὲ ταῦτα καλῶς συνῆκεν. Εἴρηκα μὲν ἐγὼ, ὅτι Σκαλιγέρῳ οὐκ ἦ γραπτέον, λέκτρων ἀμπλακὼν, καθότι αὐτάρκως ἡ λέξις ἐκδιδομένη καλῶς ἔχει. Τοῦτο δὲ οὐκ εἴρηκα μάτην. Νοεῖται γὰρ, καθάπερ ἔφη καὶ Ε. Στέφανος, πρόθεσις κατὰ,

τυ-

Ver. 615. Dicit, me ἀφαίρω pro ἀφαιρῶ scripsisse.

Dissimulat τὸ ἀφαιρῶ, quod scriptum est sine Typographi mendo ad vers. Iphig. in Aul. 895. Atqui, cum ego dixerim, verbum hoc cum duplici accusandi casu construi, verba feci haud dubie de verbo ἀφαιρῶ; minime vero de ἀφαίρω, quod nullum verbum est.

Ver. 934. Objurgat me, quia γαμυστόλει scriptum vidit, & ἐγαμοστόλει legendum esse dicit.

Quis non videt, annotantem me hoc loco isthæc, τὴν ἄνασσαν *intellige vel Junonem, quæ* γαμοστολεῖ *nuptæ curam habet, vel Dianam?* scripsisse γαμοστολεῖ, haud vero γαμυστόλει, & ἐγαμοστόλει nulla ratione intelligi posse? Dicitur namque γαμοστολῶ *nuptias apparo, seu pronubæ officio fungor*. Quapropter γαμόστολος νὺξ appellatur a Musæo, *pronuba nox*. Cum igitur ego explicuerim *nuptæ curam habet*, γαμοστολεῖ belle admodum scripsi, & τὸ γαμυστόλει, mendum quidem est Typograhi; ἐγαμοστόλει, vero mendum objurgantis.

In Suppl. ver. 1141. Ait, me dicere Ἀΐδα in nominandi casu pro ἀΐδης.

Falso ait, neque locum intellexit. Nam ego Euripidis verba exscripsi, quæ hujusmodi sunt. ἑῶυσαν τὸν ἀΐδαν. Putavit Adversarius, quoniam scriptum est ἀΐδαν, me nomen istuc deduxisse ex nominativo Ἀΐδα. Non vidit, τὸ ἀΐδα hoc loco Doricum esse. Dicitur enim ἀΐδης Dorice ἀΐδας, & gignendi casu ἀΐδαο, accusandi autem ἀΐδαν, etiam apud Hesychium. Nomen hoc a choro sumitur. Atqui Euripides in choris Dorica dialecto utitur.

Ἐν Ἰφιγ. Ἐν Αὐλ. στιχ. 124. Hæc adversus me annotat, *Reprehendit Scaligerum; at erat illi demonstrandum,* τὸ ἀμπλάκειν λέκτρα (ἀντὶ λέκτρων) *græcum esse*.

Neque hæc belle intellexit. Ego equidem dixi, nihil esse caussæ, cur Scaliger scribat, λέκτρων ἀμπλακὼν, quia satis vulgata lectio apposite se habebat. Neque temere hoc ego equidem dixi. Intelligitur enim, quemadmodum ait H. Stephanus, præpositio

κατὰ,

τουτέστι, κατὰ Λέκτρα, καὶ τοῦτο μὲν Ἀττικῶς. Τὰ δὲ ῥήματα τοῦ Κριτικοῦ τούτου, ταῦτα, *citatur Euripidis locus, in quo legitur*, λέκτρ' ἀμπλακὼν, *ſubaudita præpoſitione* κατὰ, *ideſt ſponſa fruſtratus*. Τούτων μὲν οὖν οὕτως ἐχόντων, οὐδὲν ἐχρῆν μεταλλάττειν.

Στιχ. 314. Ἐκδηλοῖ δύω κατά μου ἐνταῦθα. Πρῶτον μὲν, ὅτι γέγραπται, ὦ δέσποτε, δεύτερον δ', ὅτι ματαίως τε καὶ περισσῶς δεδήλωκα, νοητέον τοῦτο περὶ Ἀγαμέμνονος.

Ὅσον ἥκει ἐπὶ πρῶτον, τίς ποτε δίκαιος μὲν τῶν πραγμάτων λογιστὴς ἂν νομίσειε, δέσποτέ με γεγραφέναι γεγραφότα αὐτόθι, στιχ. 304. καὶ 312. δεσπόταισι, καὶ δεσποτῶν; οὐκ ἔστιν ὅπως ᾠήθην τὸ δέσποτε εἶναι οἷον λόγε. Τοῦ τυπογράφου σφάλμα δὴ τοῦτο, καθάπερ δῆλον, ἀντὶ δέσποτα. Πρὸς δὲ τούτοις, ὅσον μὲν ἐπὶ δεύτερον ἥκει, ἐκδηλοτέον μὲν ἐδόκει, τὸν γέροντα Ἀγαμέμνονι ἀπόντι προσλαλεῖν, μηδαμῶς δὲ Μενελάῳ παρόντι, ὡς μὲν ἴσως τις ῥαδίως αὐτὸν σφάλλειν ἐδύνατο. Κἀκεῖθέν ἐστιν διαγνῶναι, ταῦτα εἶναι πρὸς λόγον.

Στιχ. 615. Φησί με νεανίδαι ἀντὶ νεανίδες γεγραφέναι.

Ψευδολογεῖ κατὰ τὸ εἰωθὸς, μήτ' ὀρθῶς ἀποσημείωσιν τὴν ἐμὴν κατανοεῖ. Οὕτω γὰρ ἐγὼ δεδήλωκα, βίβλον τοῦ Σκαλιγέρου ἔχων, νεανίδ' αἷσι, καὶ τὰ λοιπὰ, τουτέστι, *vos autem excipite puellam*. Εἰ μὲν οὖν πρῶτον γέγραφα νεανίδ', τουτέστι *puellam*, πρόδηλόν ἐστιν, ὅτι καὶ δεύτερον ὁμοίως γέγραφα. Ἐκ δὲ σφάλματος τοῦ τυπογράφου ἐξεδόθη νεανίδαι αἷς, ἀντὶ νεανίδ' αἷς.

Στιχ. 1598. Ταῦτα κατ' ἐμοῦ σημειοῖ· οἴεται αἶρε, καὶ χώρει) ἀμφότερα προστακτικὰ) παρατατικὰ εἶναι.

Τοὐναντίον, ἀμέλει, παντελῶς. Αἶρε, καὶ χώρει ἐνταῦθα παρατατικὰ μὲν Ἰωνικῶς καὶ Αἰολικῶς ἐστιν, προστακτικὰ δὲ μηδαμῆ. Διατελεῖ γὰρ ὁ Ἄγγελος πάντα τὰ συμβεβηκότα διερχόμενος, οὕτω, Πρὸς ταῦτα πᾶς τις θάρσος αἶρε ναυβάτης -- χώρει τε πρὸς ναῦν .... τουτέστι, *quapropter omnis navalis milies ſumebat animos -- Et ibat ad naves*. Δύναται ταῦτα ὡς προστακτικὰ δηλοῦσθαι; μηδένα τρόπον, μὰ Δία. Αἶρε γοῦν, καὶ χώρει Ἰωνικῶς καὶ Αἰολικῶς ἄνευ αὐξήσεως ἐστὶν ἀντὶ ἦρε, καὶ ἐχώρει.

Ἐν

κατὰ, h. e. κατὰ λέκτρα, & hoc quidem Attice. Verba autem Critici hujus ſunt hujuſmodi, *Citatur Euripidis locus, in quo legitur λέκτρ' ἀμπλακὼν, ſubaudita præpoſitione κατὰ, ideſt, ſponſa fruſtratus.* Quapropter, cum hæc ita ſint, nihil erat mutandum.

Ver. 314. Duo hic in medium affert adverſus me. Alterum, quia ſcriptum fuit ὦ δέσποτε; alterum vero, quia fruſtra & præter rem annotavi, hoc eſſe de Agamemnone intelligendum.

Quod ad primum attinet, quis unquam æquus rerum æſtimator putarit, δέσποτε me ſcripſiſſe, cum ſcripſerim jam eodem loco ver. 304. & 312. δεσπόταισι, & δεσπότῃσι? Fieri non poteſt, ut ego putaverim τὸ δέσποτε eſſe, ut λόγε. Typographi error hic eſt, ut patet, pro δέσποτα. Præterea, quod ad alterum attinet, patefaciendum mihi videbatur, ſenem Agamemnoni abſenti hæc dicere; haud vero Menelao, ut fortaſſe quis facile errare poterat. Hinc cognoſcere licet, hoc eſſe appoſitum.

Ver. 615. Ait, me νεανίδαι pro νεανίδες ſcripſiſſe.

Falſo ait, ut aſſolet, neque annotationem meam probe intelligit. Sic enim ego annotavi, Codicem Scaligeri habere νεανίδ' αὖσι, & cetera, h. e. *Vos autem excipite puellam.* Si igitur ego primum ſcripſi νεανίδ', hoc eſt, *puellam*, manifeſtum eſt, me etiam deinde perinde ſcripſiſſe. Ex errore autem Typographi editum fuit, νεανίδαι αὖς pro νεανίδ' αὖς.

Ver. 1598. Hæc adverſus me annotat, *Putat* αἶρε, & χώρει *(ambo imperativi ſunt) imperfecta eſſe.*

Contra omnino. Αἶρε, & χώρει hoc loco imperfecti modi ſunt Jonice, & Æolice; imperativi, nullo modo. Eſt enim Nuncius, qui pergit enarrare omnia, quæ acciderant, hocce pacto: Πρὸς ταῦτα πᾶς τις θάρσος αἶρε ναυβάτης -- χώρει τε πρὸς ναῦν..... h. eſt. *quapropter omnis navalis miles ſumebat animos -- Et ibat ad navem....* Poſſunt ne hæc per imperandi modum explicari? Nullo mehercle modo. Αἶρε igitur, & χώρει

Jo-

Ἐν Ἰφιγ. ἐν Ταυ. στιχ. 8. Φησὶ, τὸ δόκει *existima* ἀντὶ τοῦ ἐδόκει *existimabat*, ὑπ' ἐμοῦ λαμβάνεσθαι.

Οὕτω μὲν λαμβάνω, καθάπερ χρὴ λαβεῖν. Δόκει γὰρ ἐν τούτῳ τῷ τόπῳ Ἰωνικῶς καὶ Αἰολικῶς λέγεται ἄνευ αὐξήσεως, παρατατικὸν δὲ ὡς ἀληθῶς ὑπάρχει. Τοιοῦτος μέν ἐστιν Εὐριπίδου στίχος· ἔσφαξεν Ἑλένης οὕνεχ', ὡς δόκει, πατήρ· τουτέστι, *Mactavit propter Helenam, ut existimabat, Pater*. Οὐχὶ ταῦτα σαφέστατα;

Στιχ. 579. Οὕτως εἰρωνικῶς περὶ μου λέγει, καλῶς ἔφη, σπουδαὶ ἀλλήλαι.

Ψεύδεται. Τοῦτον γὰρ τὸν τρόπον οὐκ ἐγὼ γέγραφα, ἀλλά γε σπουδαῖς ἀλλήλαις, γράφων δὲ ὁ ἀντίδικος σπουδαὶ ἀλλήλαι σφάλλεται. Τὸ γὰρ ἀλλήλων ὄνομα τῶν ἀτελῶν πτώσεσίν ἐστιν, ἀπολείπεται δὲ τῆς ὀνοματικῆς πληθυντικῆς. Πρὸς δὲ τοῦτον, καίπερ ἂν αὐτὸς νομίζοι οὐ καλὸν λέγειν, σπουδαῖς ἀλλήλαις, καλὸν μὲν ἐγὼ μιμεῖσθαι Πλάτωνα ὑπολαμβάνω, ἐν Τιμαίῳ ταῦτα γράφοντα, ξυνάψας αὐταῖς καὶ ἀλλήλαις, κᾄπειτ' Ἀριστοτέλην οὕτως ἔχοντα ἐν βιβλίῳ περὶ τοῦ κόσμου, ἀλλήλοις συναφαῖς, ἀντὶ ταῖς ἀλλήλων. Λέγει δὲ ἀλλήλοις ἀντὶ ἀλλήλαις, Ἀττικῶς.

Στιχ. 609. Φησὶ, μου λῆμα ἀντὶ λῆμμα, ὥσπερ εἴη ταὐτὸ, γεγραφέναι.

Γέγραφα μὲν ἐγὼ ἐν ταῖς ἀποσημειώσεσι λῆμα, *seu* λῆμμα, ἐπειδήπερ ταύτῃ γεγραφέναι καὶ τοὺς λεξικογράφους εὕρηκα. Καὶ μὲν δὴ, πλέω τῶν ἄλλων, ὁ Σχρεβέλιος ἐν λέξει λῆμα οὕτω γράφει, λῆμα, *vel* λῆμμα *cum duplici* μμ. Διόπερ ἔξεστι καὶ εὑρεῖν γραφθὲν ἐνείλημα, καὶ ἐνείλημμα, ὅπερ γίνεται παρὰ ἐνειλέω, διὰ διπλασιασμοῦ. Πρὸς δὲ τούτοις, λῆμα λέγεται ἀνδρεία, θάρσος, καθάπερ ὁ Σχολιαστὴς Ἀριστοφάνους ἐν ταῖς θεσμοφ. δηλοῖ, καὶ ἄλλοι παραπλησίως δηλοῦσι λῆμμα ἀντὶ *vis, audacia*, παρὰ τὸ λαμβάνειν *sumere animos*, καθάπερ παρὰ τοῖς λατίνοις. Ἀνάγνωθι τὸ λεξικὸν παρὰ βρυκιόλῳ. Ἐνετ. ἔτ. 1546. Τἄλλα δὲ λῆμμα λέγεται ὅτιοῦν λαμβάνεται.

Στιχ. 1042. Κατηγορεῖ μου, ὅτι νοτερὸς δεδήλωκα *australis*, ὥσπερ ἂν λέγοιτο νότιος.

Οὐκ ἐξήτασε τὰ Εὐριπίδου ῥήματα. Λέγεται παρὰ Εὐριπίδῃ

πίδῃ

Jonice & Æolice sine augmento sunt pro ἦρε, & ἰχώρει.

Ἐν Ἰφιγ. Ἐν Ταυ. στιχ. 8. Dicit, τὸ δόκει *existima* pro ἐδόκει *existimabat*, usurpare.

Ego equidem usurpo, ut usurpandum est. Δόκει enim hoc loco Jonice & Æolice dicitur sine augmento, & imperfecti modi omnino est. Ita enim se habet Euripidis versus, Ἔσφαξεν Ἑλένης ἕνεχ', ὡς δόκει, πατήρ, h. e. *mactavit propter Helenam, ut existimabat, Pater*. Nonne hæc admodum plana?

Ver. 579. Ita ironice de me loquitur, *belle dixit* ποσδαὶ ἀλλήλαι.

Falso ait. Hac ego ratione non scripsi; sed ποσδαῖς ἀλλήλαις. Adversarius vero scribens ποσδαὶ ἀλλήλαι fallitur. Nomen enim ἀλλήλων est defectivum; caret enim nominativo plurali. Præterea, etiamsi ipse non putet bellum dicere ποσδαῖς ἀλλήλαις, bellum ego puto imitari Platonem in Timæo ita scribentem, ξυνάψας αὐταῖς ἐς ἀλλήλαις & deinde Aristotelem, qui ita habet in lib. de mundo, ἀλλήλοις συναφαῖς pro ταῖς ἀλλήλων. Dicit autem ἀλλήλοις pro ἀλλήλαις Attice.

Ver. 609. Dicit, me λῆμα pro λῆμμα, quasi idem sit, scripsisse.

Scripsi equidem ego in annotationibus, λῆμα seu λῆμμα, quia reperi perinde etiam Lexicographos scripsisse. Atque sane, præter alios, Schrevelius in dictione λῆμα ita scribit, λῆμα, *vel* λῆμμα *cum duplici* μ. Quare invenitur etiam scriptum, ἐπίλημα, & ἐπίλημμα; quod sit, ab ἐπιλέω, per additionem. Præterea λῆμα dicitur ἀνδρεία, θάρσος, ut explicat Scholiastes Aristophanis in Thesmoph. & alii perinde explicant λῆμμα pro *vis*, *audacia*, quasi sit *sumere animos*, ut dicunt Latini. Lege *Lexicon* apud Bruciolum Venet. an. 1546. Ceterum autem λῆμμα dicitur *quicquid accipitur*.

Ver. 1042. Me accusat, eo quod νοτερὸς explicui *australis* perinde ac diceretur νότιος.

Euripidis verba non expendit. Dicitur apud Euri-

 pidem

πίδῃ νοτερὸν ἔκβολον. Αἰτεῖ δὲ ὁ τόπος, ὡς ἔοικε, δηλοῦσθαι, *ostium australe*. Καὶ οὕτω μὲν μεταφράζει ἡ λατινικὴ τοῦ Βαρνεσίου μετάφρασις. Ἔπειτα δὲ λέγουσιν οἱ σοφώτεροι νότος λέγεσθαι διὰ τὸ νοτερὸν, ὅτι *humidus est*, καθάπερ πολλάκις παρὰ ποιηταῖς λέγεται. Διόπερ νοτερὸν δύναται μεταφορικῶς ἐνταῦθα σημαίνειν *ostium australe*, *h. e. humidum*, καθότι καὶ νότος λέγεται, διὰ τὸ νοτερόν.

Ἐν Ῥήσ. στιχ. 131. Φυσί με δοκεῖ *existima*, ἀντὶ ἐδόκει *existimabat* λαβεῖν.

Κἀνταῦθα ψεύδεται, μήτε τόπον συνιείς. Εὐριπίδου στίχος οὕτως ἔχει, τάδε δοκεῖ, καὶ τὰ λοιπά. Ἐγὼ δὲ περὶ τούτων ἀποσεσημείωκα, *desideratur*, μοι, *h. e. Hæc mihi ita quidem videntur*. Ἐκ τούτων μὲν δῆλον, ὅτι δοκεῖ ὡς τρίτον πρόσωπον ἑνικοῦ εἴληφα, τουτέστι, τάδε δοκεῖ *hæc videntur*. Παρὰ γὰρ Εὐριπίδῃ δοκεῖ γράφεται, δόκει δὲ δ' ἐν ἀποσημειώσει τῇ ἐμῇ σφάλμα ἐστὶν τοῦ τυπογράφου. Πρῶτον μὲν οὖν περὶ ἑαυτοῦ λόγους ὁ χορὸς ποιεῖται λέγων τάδε, μοι δοκεῖ, *hæc mihi videntur*. Ἔπειτα δ' Ἕκτορι λέγει, τάδε μεταθέμενος νόει. Ταῦτα μὲν ὁ κατήγορος ἐν ταῖς ἀποσημειώσεσιν ἐμαῖς ἐξελέγχει, καὶ παραδειγματίζει.

Ἀλλὰ τί πρὸς τούτοις; εἰς γὰρ ἐμὲ καὶ τὴν αἰτίαν σφαλμάτων τοῦ Τυπογράφου σφόδρα πάνυ ἀδίκως τρέπει. Ταῦτα μὲν γὰρ καὶ τἄλλα δ', ὥσπερ ἐξ ἀρχῆς ἐλέξαμεν, θέλοντος οὕτω τοῦ Τυπογράφου ἐκ τῶν ἰδίων ἀναλωμάτων αὐτὰς ἐκδιδόντος, εἰς τέλος πασῶν τῶν Τραγῳδιῶν ἀναβάλλεται. Τίς ποτ' ἂν δίκαιος πραγμάτων λογιστὴς ἄξιον νομίσειεν ἐκδηλοῦν σφάλματα ταῦτα ὀλίγα συμβεβηκότα ἐν τετρακισχιλίαις κατὰ καὶ τετρακοσίαις ἀποσημειώσεσιν, εἰ καὶ λίαν μὲν ἠκριβώκασιν οἱ ἐπανορθοῦντες οἱ τοῦ φροντιστηρίου Παταβίνου ἀκριβεῖς τε καὶ ἔμπειροι; Τί δὲ ταῦτα διέρχομαι; χρόνον μάτην διατρίβω. Τῷ μὲν γὰρ κατηγόρῳ συγγνωστέον, ὅστις μηδὲν αὐτῶν παραλείπει, ἅπαντα μέλλοντα νομίζει τὸν κατηγορούμενον, ὡς ἂν τύχοι, βλάπτειν. Τὰ σφάλματα τοίνυν, χωρὶς τῶν πρότερον λεχθέντων, ταῦτα: ἐν Φοιν. μέλαινα ἀντὶ μέλανα, ἐν Ἱππολ. ἀπολλεῖται ἀντὶ ἀπολεῖται, ἐν Ἀνδρομ. συνέζευσαν ἀντὶ συνέζευξαν, ἐν

Ἱκετ.

pidem νοτερὸν ἔκβολον. Postulat autem locus, ut videtur, explicari, *ostium australe*. Et sic quidem interpretatur latina Barnesii interpretatio. Porro ajunt sapientiores νότος dici διὰ τὸ νοτερὸν, quia humidus est; quemadmodum sæpe a Poetis dicitur. Quapropter νοτερὸν hoc loco potest metaphorice significare *ostium australe*, h. e. *humidum*, quoniam etiam νότος dicitur διὰ τὸ νοτερόν.

In Rhes. ver. 131. Dicit, me δόκει *existima* pro ἐδόκει existimabat usurpare.

Falso & hoc loco ait, neque locum intellexit. Euripidis versus ita se habet, τάδε δοκεῖ, & cetera. Ego vero ad hæc annotavi, *desideratur* μοι *h. e. Hæc mihi ita quidem videntur*. Ex his patet, me usurpasse δοκεῖ tamquam primam personam minoris numeri, h. e. τάδε δοκεῖ *hæc videntur*. Scribitur enim apud Euripidem δοκεῖ. In annotatione mea autem δόκει error est Typographi. Primum igitur de se loquitur Chorus μοι δοκεῖ *hæc mihi videntur*. Postea vero Hectori dicit τάδε μετατιθέμενος νόει. Hæc sunt quæ in annotationibus meis redarguit Accusator, palamque traducit.

Quid autem porro? mihi etiam vitio vertit admodum inique Typographi menda. At hæc quidem, & alia, quemadmodum jam inde ab initio diximus, sic volente Typographo, qui eas propriis sumtibus typis emittit, in finem omnium Tragœdiarum rejiciuntur. Quis unquam æquus rerum æstimator digna existimare posset, quæ recenserentur, pauca hæc Typographi errata quæ jam in quatuor mille circiter, & quadringentas annotationes irrepserunt, etiamsi magna sint usi diligentia correctores Seminarii Patavini navi industriique? sed quid hæc commemoro? tempus frustra tero. Homini adversario sunt hæc donanda, qui nihil præterit eorum, quæ illi, cui adversatur, quacumque ratione obfutura putaverit. Errata igitur, præter ea, de quibus diximus, hæc sunt. In Phœn. μέλαινα pro μέλανα, in Hippol. ἀπολεῖται pro ἀπολεῖται, in Androm.

Ἱκετ. ἐφυμεῖται ἀντὶ ἐφυμεῖτο, ἐν Ἰφιγ. ἐν Αὐλ. μαίνῃς ἀντὶ μαίνῃ, κεκτήμῃς ἀντὶ κεκτῇο. Οὐ μὴν ἀλλὰ ταῦτα, καὶ τἄλλα εἰς τέλος πασῶν τῶν Τραγῳδιῶν, καθάπερ καὶ ἐν τοῖς ἔμπροσθεν ἔλεγον, ἀνεβλήθη.

Τούτων μὲν οὖν οὕτως ἐχόντων, πῶς ἄν τις, ὦ ἄνερ ἀοίδιμε, Ἀντώνιε Στρατηγὲ, περιφανέστερον ἐπιδείξειεν ἄνθρωπον παρὰ τὸ προσῆκον, καὶ παρὰ πάντα τὰ δίκαια κατ' ἄλλου γεγραφότα; Συγγνωστὸς δ' ὅμως, ὅτι ῥᾶον, ὡς ἔοικεν, οὐδὲν, ἢ μέμψιν μέμφεσθαι μάτην. Διόπερ ἐγὼ θέλοιμι ἂν, θέλοιμι, τοιούτου τυχεῖν ἀντιδίκου ἐν τοῖς ἀμφισβητησίμοις ἀεὶ, οἵπερ νυνὶ, γιγνώσκων, ὅτι προσέστι μὲν ἤδη τῷ νικᾷν τὸ πολεμίῳ ἀσθενεστέρῳ χρῆσθαι. Καί τοι μοίγε οὐ φιλολοιδόρῳ (τἀληθῆ λέγω) ἐπειδήπερ φύσει τυγχάνομεν ὄντες ἐπιεικεῖς, μήθ' ἅμιλλα πρός τιν' ἀρέσκει, μήθ' ἡδέως ἔχω πρὸς ψόγον. Ἔπαινος γὰρ ἐν τῷ τοῦ σπουδαίου ἀνδρὸς στόματι, καθάπερ μέλι, γλυκύς. Τοῦ τιμᾶσθαι γὰρ τὸ τιμᾷν πολλάκις ἐνδοξότερον, ὡς μὲν Πλούταρχος ἔφη. Οὐ μέν τοιγε ἀνὴρ σπουδαῖος ὑπομένειν δύναται κακῶς ἀκούειν οὐχ ὑπ' ἀξίου ὢν σχεδόν τ' ἀναίσθητος ὁ τοιοῦτος εἶναι δοκεῖ παντάπασιν, εἰ μὴ τὸν θυμὸν, ὡς Ὅμηρος εἶπεν, ὀφαίρει. Τοῦτο μέν ἐστι σαφῶς καταμαθεῖν ἐκ τῶν μὲν τοῦ Δημοσθένους λόγων περὶ στεφάνου γραφθέντων, παῤῥησίᾳ δὲ παρὰ τῷ δήμῳ λεχθέντων, ὅπως μὴ σιωπήσαντα τῆς τιμῆς ἀνάξιον οἱ Ἀθηναῖοι τότ' ἐκεῖνον νομίζοιεν. Αἰσχίνης γὰρ παρὰ τῷ δήμῳ ἀναγορεύων λοιδορίας τοιαύτας Δημοσθένει λοιδορούμενος διατετέλεκεν, ὥστ' ἔδοξε κράτιστος ἀνὴρ, πάντων ἀνθρώπων κάκιστος τοῖς ἀγνοοῦσι. Προεῖχε μάλιστα μὲν, ὡς δῆλον, Δημοσθένης τῇ δεινότητι τῇ ἐν τοῖς λόγοις. Ὁ δὲ κατήγορος Αἰσχίνης κατ' αὐτοῦ εἶπεν, ὅτι τεθνηκὼς δειλίᾳ καὶ ἀπορίᾳ παρὰ Φιλίππῳ ἄρξας λέγειν, σιωπᾷν ἀναγκάσθη καὶ ἐκπίπτειν ἐκ τοῦ λόγου παναίσχιστον τρόπον. Ταῦτα δὴ καὶ τἄλλα πολλὰ βεβλασφήμηκεν εἰς ἄνδρα δεινὸν λέγειν μάλιστα πάντων, ἀπίθανα μὲν, οἷα τε δ' ὅμως ὄντα σκοτεινὸν χαρακτῆρα

τοῖς

drom. συνέζευσαν pro συνέζευξαν, in Suppl. ἐφρουρεῖται pro ἐφρουρεῖτο, In Iphig. in Aul. μαίνῃς pro μαίνῃ, κεκτήμης pro κεκτῇο. Atqui hæc, & alia in finem omnium Tragœdiarum, ut dixi, rejecta sunt.

Cum igitur hæc ita sint, quanam ratione, o spectate vir, Antoni Stratege, posset unquam manifestius ostendi quispiam, qui præter omne jus & fas adversus alium scripserit? venia tamen videtur dignus, quoniam nihil est facilius, ut videtur, quam temere objurgare. Quapropter vellem ego, vellem, in his, de quibus disceptatur, hujusmodi semper adversarium nancisci, ut in præsentia fit, istuc probe sciens, uti imbecilliori adversario esse jam plane cum victoria conjunctum. Quamquam mihi, qui conviciis non delector (quod res est dico) quoniam mitem me natura finxit, neque adversari cuipiam placet, neque objurgare collibet. Laus enim in ore prudentis viri, veluti mel, dulcis. Honore namque afficere, quam affici gloriosius sæpe est, ut Plutarchus ait. Attamen vir honestate præditus vix sustinere potest, se male audire, cum sit omni culpa vacuus; & propemodum stipes atque truncus omnino videtur id genus vir, nisi animum ad indignationem, ut ait Homerus, commoveat. Istuc plane intelligi potest ex iis, quæ Demosthenes de corona scripsit, & libere palam coram populo dixit, ne, cum reticuisset, eum honore indignum Athenienses existimarent. Æschines enim apud populum verba faciens usque eo Demosthenem conviciis cumulavit, ut iis, qui eum minime noverant, visus fuerit optimus vir, pessimus omnium. Excelluit in primis, ut notum est, Demosthenes in facultate dicendi. Accusator autem Æschines adversus eum dixit, coram Philippo cum cœpisset orationem instituere nimio timore perterritum, & inopia verborum laborantem coactum fuisse conticescere, & ab oratione quam turpissime cessare. Hæc sane, & alia multa convicia in virum maxime omnium facundia præstantem con-

τοῖς ἔργοις τοῖς ὑπὸ Δημοσθένους κάλλιστα πεπραγμένοις ἐπιβάλλειν. Τοιγάρτοι καλῶς Ἰσοκράτης οὕτω παραινεῖ, εὐλαβοῦ τὰς διαβολὰς κἂν ψευδεῖς ὦσιν· οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν· ἕνεκα τούτων, ὡς ἔοικεν, Δημοσθένης πρὸς τὰ κατηγορημένα δίκαιον ἀναγκαῖον θ' ἅμα ὑπέλαβεν ἀπολογεῖσθαι, τήν τ' ἀδοξίαν ἀποτρίβεσθαι, καὶ τὸν ἄδικον ἀντιλέγοντα λόγοις ἀφύκτοις ἐπιστομίζειν. Βιασθεὶς μὲν οὖν καὶ ἄκων ἐπεχείρησε περὶ ἑαυτοῦ τἀληθῆ καὶ τὰ πρόδηλα λέγειν, πάντα θ' ὅσα τὰ πραχθέντα καλά, πολλῆς τε καὶ μεγάλης εὐδοξίας ἄξια ἐκδηλοῦν, ἅπερ τὰς διαβολὰς ἀπολύεσθαι δυνάμενα ἐτύγχανον ὄντα. Τοῦ αὐτοῦ μεγάλου Ῥήτορος περὶ στεφάνου λέγοντος ἔξεστιν ἀκούειν. Κἂν μέν, ἔφη, εὐλαβούμενος τοῦτο μὴ λέγω τὰ πεπραγμένα ἐμαυτῷ, οὐκ ἔχειν ἀπολύσασθαι τὰ κατηγορημένα δόξω, οὐδ' ἐφ' οἷς ἀξιῶ τιμᾶσθαι, δεικνύειν. Ταῦτα Δημοσθένης. Εἰ μὲν οὖν ἄξιόν ἐστιν, εἰκός τε τοῖς μεγάλοις μικρὰ παραβάλλειν, κἀγὼ μέν, ὥσπερ ποτ' ἐκεῖνος, κατηγορούμενος Αἰσχίνην κατηγοροῦντα νῦν ἔχων τὸν δεῖνα, κατ' αὐτοῦ παρανόμως ἀδικήσαντος ἠναγκάσθην ταῦτα γράφειν, καὶ περὶ ἐμαυτοῦ λέγειν εἰκότως, ἕνεκα τούτου μόνου, νὴ θεούς, θεάς τε πάσας, ὥστε δύσκλειαν τῶν ἀγνοούντων ἐκφεύγειν. Οἱ μὲν γὰρ γνόντες, καὶ τὰ μάλιστα σὺ λαμπρότατος ἀνὴρ καὶ τὰ Ἑλληνικὰ σοφώτατος, ἐμέθ' ἅμα καὶ τἀμὰ (σὺν θεῷ λέγω) δοκιμάζειν, καὶ διὰ τιμῆς ἔχειν φιλοῦσιν. Ἄλλως δ' οὐδὲν προσποιοῦμαι, πολυμαθῆ τ' ἐμ' οὐδέποτε λέγω, ἀλλὰ φιλομαθῆ, κοὐκ ἂν αἰσχυνθείην (ὥσπερ ὁ μὲν ὄντως πολυμαθὴς καὶ πολύπειρος Δημοσθένης ἔφησεν) εἰπών, ὅτι πολλὰ μᾶλλον δὲ πλεῖστα καὶ ἀναρίθμητα δέομαι αὐτὸς ἔτι μαθεῖν. Ὡς οὖν τὰ μὲν μείζω τοῦ προσήκοντος εἴρηκεν ὁ κατήγορος, τὰ δὲ ὅλως ψεύδεται, ῥᾳ-

δίως

gessit, dictu quidem absurda; at ita tamen comparata, ut gestis præclaris Demosthenis obscuram infamiæ notam inurere possent. Quapropter belle Isocrates sic monet: *cave a calumniis, etiamsi falsæ fuerint. Vulgus enim quid rei sit ignorat, & ad famam atque opinionem respicit*. Hinc factum, ut videtur, ut æquum atque necessarium existimaverit Demosthenes adversarium refellere, & conflatam infamiam abstergere, & iniqui accusatoris os firmissimis rationibus obturare. Coactus quidem & invitus quæ vera erant, & manifesta de se dicere aggressus fuit, & quæ patravit pulchra facinora, & magni æstimanda patefacere, quæ satis potuere injurias propulsare. Præstantem hunc Oratorem de Corona differentem audire juvat. *Si vero*, inquit, *istuc cavens non dico ea, quæ a meipso patrata fuerunt, videbor ab argumentis inops, quibus objecta mihi crimina diluam, neque me ostendere posse quænam sint ea, quorum caussa dignus sim, qui honore afficiar*. Si igitur licet, atque decet cum magnis parva conferre, ego etiam hercle, ut olim ille, in judicium raptus Æschinem quemdam nunc jam nactus, adversus eum, qui contra fas & æquum me injuria affecit, hæc scribere coactus sum, & de me dicere jure profecto optimo, ea de caussa tantummodo, per Deos Deasque omnes, ut infamiam apud eos, qui me minime norunt, effugiam. Qui enim cognoscunt, & tu in primis clarissimus vir, & græcarum literarum eruditione præstantissimus, me una & mea (Deo favente dico) probare & honestare solent. Ceterum ego nihil mihi arrogo, neque me eruditum appello, sed tantummodo discendi cupidum, neque vererer (quemadmodum Demosthenes revera quidem scientia & conditione præstans & valde peritus dixit) fateri, multa atque adeo plurima & innumera esse quæ mihi discenda supersunt. Adversarium igitur ea, quæ dixit, partim præter rem & modum; partim vero omnino falsa dixisse, facile puto, planum hactenus compertumque esse,

δίως οἶμαι φανερὸν μέχει τοῦδε ὑπάρχειν, καθάπερ Ἰσοκράτης κατὰ Λυσιμάχου τοῦ κατηγόρου γέγραφε.

esse, quemadmodum Isocrates adversus Lysimachum accusatorem scripsit.

F I N I S.